Ἐπειδὴ τῶν πρὸς ἡμᾶς σου συνθηκῶν (οὐκ οἶδα τῶν ἐξ αὐτῆς ὁρμῆς πεπλασμένων, ἐδήλου γάρ τι τοιοῦτον αὐτῶν καὶ ἡ γένεσις· οὐκ οἶδα τῶν μεταβολῇ μεταπλασθέντων γνώμης, καὶ γάρ ποτε καὶ τοιαύτης ἐπειράθημεν ἄλλοτε διαθέσεως), πλὴν ἀλλὰ γὰρ ἐπεὶ τῶν σῶν παρ' ἡμῖν ὁρκίων κειμένων οὐδὲν ἔλαττον αὐτῶν λόγον ἔχεις ἢ εἰ μηδ' ὅλως, ἢ εἰ ἐπὶ τῷ πατεῖσθαι μᾶλλον προέβησαν (τοῦτο γὰρ ἀπαραγράπτῳ μαρτυρίᾳ, τὴν σὴν ἀπουσίαν,—τί γάρ μοι τὰ ἄλλα καταλέγειν;—τοσούτῳ χρόνῳ παραμετρῶν βεβαιῶσαι διεσπούδασας), ἀπεστείλαμέν σοι ταῦτα, ἵνα μήτε μάτην παρ' ἡμῖν κείμενα ὦσι, μήτε μήν, ὡς ἀστραγάλοις οἱ παῖδες, οὕτω καὶ ἡμεῖς τοῖς ἔργοις δόξωμεν ἐξαπατᾶσθαι, ὡς ἄν τις ἐκ Μακεδονίας βάρβαρος ἢ Λακωνικὸν ὄνειδος, ἀγνοοῦντες εἰς οἷον αὐτοῖς ταῦτα καταστρέφει τέλος, ἀλαζονεύσοιτο, μήτε σοὶ πάλιν, διαμελετᾶν ἐθέλοντι ἅπερ ἂν ἴσως ὑποβάλῃ ἡ διάστασις, βάρος εἴησαν καὶ ἄχθος ἄλλως περιττόν, τὸν ἐξ ἀνθρώπων φόβον ἢ τὴν αἰδῶ ἐπισείοντα· ἄλλως τε δέ, εἰ μὲν [οὐδ'] αἱ παλαιαί σοι παρ' ἡμῶν χάριτες, ἃς οὐκ ἐμὸν ἀριθμεῖν (οὕτω γὰρ ἂν μᾶλλον αὐτὰς οἶδα τὸν δίκαιον κριτὴν ἀριθμήσασθαι), οὐδὲ ἡ μετ' ἐκεί-

---

5 δοῦναί σοι addidi. 30 οὐδ' addidi.

νας οὐδ' ἡ παροῦσα συγγνώμη, εἰ ταῦτα οὐκ ἴσχυσαν ἐγκολάψαι τῷ πίνακι τῆς [σῆς] ψυχῆς τὴν ἡμετέραν καθαρὰν ἀγάπην, ἢ καὶ κοιλάνασαι ταύτην οὕτω ῥᾳδίως ἀπαλειφομένην ἔχουσι, λῆρος ἂν εἴη μακρὸς ἐπὶ χόρτῳ καὶ καλάμῳ καὶ μέλανι τὴν ἀληθινὴν ἡμῶν ἀγάπην ἐλπίζειν τῇ σῇ ποτε διαχαραχθῆναι ψυχῇ (ἄμεινον δ' ἂν εἴη καὶ φθάσαι καιρούς, οὓς οἱ σοὶ λογισμοὶ ταῖς μελέταις ποιοῦντες ἐκείνοις τῶν συνθηκῶν τὴν ἐπιζήτησιν ταμιεύονται) καὶ προλαβεῖν γνώμην || ἐνασχημονεῖν γνωρίμῳ μέλλουσαν, τὴν αἰτίαν p. 721
προαφελομένῳ· οὕτω γὰρ ἡμεῖς καὶ τοῖς οὐ φιλοῦσι προφερόμεθα· μηδὲ μῦθον ἐφ' ἡμᾶς γελάσαι τῇ κατοχῇ τούτων [τὸν] παροιμιαζόμενον "Ὕλλαν κραυγάζειν"· ἐν γὰρ τῷ πόντῳ τῆς ἀπιστίας τῆς ἀληθινῆς ἀγάπης σοι καταποθείσης, οἱ ταύτην εὑρεῖν ταῖς σαῖς συνθήκαις ἀναζητοῦντες, οὐδὲν ἀνενδεέστερον, οἶμαι, μῦθον εἰσάγουσι τῷ βίῳ, ἢ ὁ τὸν Ὕλλαν κραυγάζων ἀλογωτάτην πρᾶξιν στηλιτεύοντα. διὰ ταῦτα τοιγαροῦν τὰς σὰς ἐνόρκους συνθήκας, ἤ, εἰ μὴ δυσχεραίνεις, τὰς κλήσεις, ὧν τὴν μίμησιν στέργεις, τὰς Φοινίκων, ἀνεπέμψαμεν, οὐ συναποπεμψάμενοι καὶ τὴν ἀγάπην, ἣν ἡμᾶς ὁ κοινὸς σωτὴρ καὶ πλάστης καὶ δεσπότης συντηρεῖν πρὸς πάντας παρεκελεύσατο, ὅσοι τε τοῖς ὁμοίοις τὸν πόθον ἀμείβειν σπουδάζουσι καὶ ὅσοις μᾶλλον τῆς ἀληθοῦς φιλίας ἡ σκηνή, ἢ καὶ αὐτὸ γυμνὸν τὸ τῆς ἔχθρας, προτείνεται.

16 (σϟε').

Γεωργίῳ Νικομηδείας.

Κατεσχηματισμένη δέ πως ἐστὶν ἐπιστολή, πρὸς τῷ τέλει ἑτέρου προσώπου παραινετική, τὴν βαρύτητα διαλύουσα καὶ ὡς δῆθεν οὐ δι' αὐτὸν τὸν δεχόμενον ταύτην, ἀλλὰ δι' ἕτερόν τινα, γεγραμμένη.

Μυθοποιὸς ἦν ὁ Αἴσωπος, καὶ ὁ μῦθος αὐτῷ πολὺ τῷ βίῳ φέρων παρεῖχε τὸ χρήσιμον. οὗτος ἄλλα τε ἐλογοποίει, δι' ὧν τὰ ἤθη τῶν ἀνθρώπων εἰς τὸ κόσμιον ἀπὸ τοῦ πεπατημένου μετερρύθμιζε, καὶ δὴ καὶ μῦθος αὐτῷ οὐκ ἀγενὴς τοῦ οἴνου καὶ τὴν φύσιν καὶ τὴν βλάβην ἐποιήθη διηγούμενος. ὁ δὲ μῦθος οὕτως αὐτῷ

---

2 σῆς addidi. 8 in codice legitur γνωρίμου μελλούσης τὴν αἰτίαν προαφελόμενον. 11 Ὕλλαν κραυγάζειν] Apost. proverb. xvii, 9. 15 cod. διαταῦτα. 30 cod. μετερύθμιζε.

διαπλάττεται. *Ὁ Διόνυσος.* τρεῖς αὐτῷ κατ' ἀρχὰς εὑρέθησαν βότρυες, ὧν τὸν μὲν πρῶτον ἑαυτῷ μερίδα τίθεται· ὁ δὲ δεύτερος, ἀλλ' οὗτος δῶρον τῇ Ἀφροδίτῃ ἀφορίζεται, καὶ ὁ τρίτος δὲ τῆς Ὕβρεως μερὶς ὑπολείπεται, ἐξ οὗ καὶ ἡ διὰ λόγων ὕβρις, οὐ μὴν ἀλλὰ

p. 722 καὶ ἡ τοῖς ἔργοις ‖ ἐνασχημονοῦσα παροινία θέλει λέγεσθαι. ἐπιζητεῖς ἴσως, τί δὲ ταῦτα βούλεται; ὁ μὲν Διόνυσος οὐκ ἐβάκχευε, Βάκχας δὲ ἐπεσύρατο. πλὴν ἀλλ', ἐπεὶ τῆς ἐπιστολῆς ἡ κατὰ μέρος ἱστορία μακρότερον, ὁ μὲν Διόνυσος αὐτὸς καθ' ἑαυτὸν οὐκ ἐμαίνετο· ἔχει γὰρ τὸν πρῶτον τῆς ἀμπέλου βότρυν, ὁ μέτρον τὴν χρείαν τοῦ οἴνου ποιούμενος, ὁ δὲ τῆς χρείας καταβλακευόμενος καὶ τὸν δεύτερον ἐκθλίβων βότρυν τοῦ τε μετρίου διέπεσε, καὶ ἀσφαλὴς τὴν φύσιν τοῖς τῆς Ἀφροδίτης ὀργίοις ὑπάγεται καὶ τελετὴ λαμβάνει τὸν ἄνθρωπον, ἃ τῆς ἀσελγείας ὁρᾶται μυστήρια. καί γε σὺ μὴ λίαν εἰς οἰκτιρμοὺς πέσῃς, μηδὲ δακρύσῃς τῷ πτώματι· ὁ γὰρ τρίτος βότρυς ἐκεῖνος μάλιστα κινεῖ σὺν ἐλέῳ καὶ τὰ δάκρυα, καὶ γὰρ Ὕβρεως τὸν λαβόντα ποιεῖται ἀνδράποδον, καὶ αὐτῆς τῆς ἀνθρωπίνης συγγενείας ἀπάγει αἰχμάλωτον. ἄμεινον μὲν οὖν καὶ μακάριον μὴ γενέσθαι Διόνυσον· τί γάρ μοι πρὸς τὰς Βάκχας ἀφορᾶν, καὶ τῇ τούτων δοκεῖν μανίᾳ συνεπιμαίνεσθαι, καὶ τῷ ἐκεῖθεν θορύβῳ καὶ ταῖς φροντίσι διασπαράσσεσθαι; εἰ δὲ εὐχῆς ἔργον τοῦτο, ἔθος γὰρ καὶ χρόνος τῶν ἐν βίῳ πάντων δυσμαχώτατα, ἀλλ' οὖν ἐφ' ἡμῖν γε τὸ μὴ [τὸν] δεύτερον ἀποθλῖψαι βότρυν, καὶ τὴν αὐτόθεν βλάβην ἐπισπάσασθαι. ὃς δὲ μήτε τῇ τοῦ δευτέρου λύμῃ σωφρονέστερος γέγονεν, ἀλλὰ δέον φεύγειν δυνάμει πάσῃ καὶ τὸν δεύτερον· ὃς δὲ καὶ τὸν τρίτον προσφέρεται, οὗτος ὡς ἀληθῶς Ὕβρεώς τε ποιεῖ ἑαυτὸν παίγνιον καὶ πάσης ἀνθρωπίνης πολιτείας ὑπερόριον. ὅρα ταῦτα καὶ σκόπει τὸν μῦθον, ἐπὶ ταῖς τῶν πραγμάτων ἐνεργείαις τὴν ἀλήθειαν ἐκκαλύπτοντα καὶ ὑπ' ὄψιν δεικνύντα τὸ βιωφελὲς τῆς παραινέσεως, καὶ φύλασσε σαυτόν, ἵνα μὴ μῦθος ἐπὶ σοὶ μᾶλλον ὁ μῦθος δειχθῇ πρὸς λῆρον διαλυόμενος. ἀλλὰ τί δεῖ μύθων καὶ Φρυγὸς καὶ βοτρύων καὶ

1 cod. καταρχάς. 12 cod. ἀσφαλεῖς. 22 τὸν addidi ‖ cod. ἀποθλίψαι. 24 cod. λοίμῃ. 25 ὃς] cod. ὁ. 29 cod. δεικνῦντα.

τοιαύτης εἰσηγήσεως; "μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία", καὶ "μὴ πλανᾶσθε· οὔτε εἰδωλολάτραι, οὔτε ἅρπαγες, οὔτε μέθυσοι βασιλείαν θεοῦ κληρονομήσουσιν". οὐ ‖ μῦθος ταῦτα τῷ p. 723
κηλοῦντι τὴν ἀκοήν, κλέπτων, καὶ παραμιγνὺς τῷ πλάσματι τὴν παραίνεσιν, καὶ διὰ τοῦ θέλγοντος ἐκκαλούμενός τε καὶ διαμαλάσσων τὸ ἀπειθὲς τοῦ φιλοίνου καὶ δυσκάθεκτον (οὐ γὰρ δεσποτικὴν οὗτος ἔφερε ψῆφον τῷ κράτει τῆς ἐξουσίας τὸ φερὸν ἐπιφέρουσαν), ἀνθρωπίνης δ' ἐπινοίας φιλανθρώπου μόνον ἐτύγχανε νουθετήματα. ἀλλὰ τίς ἐκφέρει τὰ νῦν εἰρημένα ψηφίσματα; Παῦλος ἐκεῖνος ὁ μετάρσιος ἄνθρωπος (οὗ κατολιγωρεῖν τῶν δογμάτων οὐκ ἔνι, εἰ μή τις πρότερον τῆς χριστιανῶν ἀγέλης ἀποσκιρτήσειε), Παῦλος τὸ τῆς [ἀγέλης] τοῦ Χριστοῦ στόμα, ὁ στῦλος τῆς ἐκκλησίας, τῆς οἰκουμένης ὁ διδάσκαλος, καὶ πᾶς ὁ μαθητευθεὶς αὐτῷ τῶν ἁγίων χορός· οἷ, δι' ὧν τὸν κοινὸν νομοθέτην ἐτεθήπεσαν, τὴν ἐντολὴν ἐνηγκαλίσαντο, καὶ στέρξαντες τὸν φόβον εἰς ὀργὴν ὑψηλοτέραν ἀνελύσαντο. ἃ τοίνυν Ἑλλήνων μὲν λόγοι, ἱεροὶ δὲ τῶν ἀποστόλων λόγοι, τῶν ἁγίων δὲ πάντων αἱ πράξεις, ἀπαιραιτήτου μὲν δίκης, ἀφύκτου δ' ἀπωλείας καὶ λέγουσι καὶ δεικνύουσιν αἴτια, ὁ ταῦτα βίον ποιούμενος πῶς οὐχὶ τὸν βρόχον ἑαυτῷ καὶ ζῶν ἐπισύρει καὶ τὴν ἐσχάτην δίκην ἐν τῷ τῆς λογοθεσίας ἐκεῖθεν οὐκ ὀφλήσει κριτηρίῳ; τούτοις μὲν οὖν καὶ τοῖς παραπλησίοις τὸν ὡς σὺ καὶ καλεῖς καὶ νομίζεις φίλον κατεπᾴδων, καὶ πρό γε τούτων σαυτὸν ἱερὸν καὶ καλὸν παράδειγμα προτιθεὶς αὐτῷ εἰς τὴν τῶν νουθετημένων παράκλησιν, εἰ μὲν ἀναλάβῃς τῆς μέθης, ἔχεις σεσωσμένον, εἰ δὲ μή γε, ἀλλ' οὖν σαυτὸν σεσωσμένον καὶ τῆς ἀπειλῆς ἀπολελυμένον, ἣ τοῖς μὴ ἀναγγέλλουσι τὴν ἐρχομένην ῥομφαίαν κατὰ τοῦ ἀδελφοῦ αὐτῶν πικρὰν τὴν τιμωρίαν εἰσπράττεται. τὰ δ' ἄλλα ἐν κυρίῳ ἔρρωσο.

---

1 cod. μεθύσκεσθαι ‖ Ephes. v, 18. 2 Corinth. 1, vi, 9-10. 10 cod. κατολιγορεῖν. 12 ἀγέλης addidi. 12 cod. στυλοστὴς τῆς. 26 ἣ] cod. ἢ. 28 post ἔρρωσο codex epistulam habet σϟς′, Σταυρακίῳ σπαθαροκανδιδάτῳ, ἐπάρχοντι τῆς Κυπρίων νήσου, quam vide apud Cotelerium (Eccles. Graec. Monum. II, p. 104) Mignium (p. 984) et Valettam, p. 527.

17 (σΗζ').

p. 724 Ἰωάννῃ ἐπαγγειλαμένῳ τὸν μονάδα βίον, ἐναντία δὲ πολιτευσαμένῳ.

Εὐχὰς μὲν ἀναφέρωμεν τῷ θεῷ μήτε ἀπάτης δίκην ὀφεί-
p 725 λειν τινί, μηδ' αὐτοὺς ἄλλον ‖ ὀφείλοντα λαβεῖν· εἰ δ' οὖν ἀνάγκη τις νικῶσα τὴν ἡμετέραν εὐχὴν θάτερον ἐπάγει τῶν δύο, ἑλοίμην ἂν ἀπατηθῆναι μᾶλλον ἢ ἐξαπατῆσαι. τὸ μὲν γὰρ ἀπάτη δοῦναι φίλον, ἡμέτερόν τε δίκαιον ὄνειδος, καὶ τὸ φαῦλον ἐλέγχει τῆς γνώμης, καὶ ψυχῆς ἐσχάτης νόσος καὶ κακίας ἀκρόπολις· τὸ δὲ οὐχ ἡμέτερον, πλὴν ὅσα γε τῇ κοινωνίᾳ καὶ συμπαθείᾳ τῆς φύσεως, καὶ δοκοῦν μὲν ἡμῖν βλαβερόν, οὐκ ὂν δὲ ἡμῖν, ἀλλὰ τῷ ἠπατηκότι ἀλιτήριον. ἐπεὶ δὲ τὰ πρὸς ἡμᾶς σου συμβόλαια τὴν εὐχὴν ἡμῶν ἐδίχασε καὶ τῆς ἀπάτης μᾶλλον ἢ τῆς ἀληθείας φίλην — οὐκ οἶδα πῶς φιλανθρωπότερον εἴπω — τὴν σὴν εὐχέρειαν καθυπέδειξεν, ὅς μοι λοιπὸν ὑπολείπεται τρόπος εἰς ὁλόκληρον τῆς εὐχῆς ἀποκατάστασιν, ἐκείνῳ δὴ ἅμα τε πρὸς ἀπαρτισμὸν τοῦ βουλήματος καὶ πρὸς ἄμυναν τοῦ ἠδικηκότος ἀποχρήσομαι. τίς οὖν οὗτός ἐστι; μηδ' ἀπατηθέντα λῦσαι τὴν εὔνοιαν, μηδὲ κακίᾳ προέσθαι τὸ κατόρθωμα, μηδ' ὀλιγωρίᾳ παρασχεῖν κατὰ τῆς ἀρετῆς ἀνταναστῆσαι τὴν ἅπαξ πεσοῦσαν τρόπαιον, μηδὲ τῇ τοῦ μέρους λύμῃ ἐπιχωρῆσαι συνδιαλυμανθῆναι καὶ ὃ τέως διαφυλάττεται καὶ διαφυλαχθείη γε ἀδιάφθορον, τοὐναντίον μὲν οὖν τῷ σωθέντι διαγωνίσασθαι καὶ τὸ διερρυηκὸς ἀμηγέπῃ διανακτήσασθαι, ἵνα πανταχοῦ τῆς ἀρετῆς ἀκαταγώνιστα μένῃ κατὰ τῆς κακίας τὰ τρόπαια. ἔσται σοι γοῦν οὐδὲν ἔλαττον, ὦ καλὲ καὶ ἀγαθέ, ἤ, εἰ καὶ μὴ ἐξηπάτησας, ἡ παρ' ἡμῶν ἀγαθουργία καὶ πρόνοια. καὶ ἀγαθοποιεῖν καὶ προνοεῖν οὐδὲν ἔλαττον—σὺν θεῷ φάναι τῷ ἐνδυναμοῦντι—ἢ πρότερον οὔμενουν οὐκ ἀμελήσομεν· ἐκείνου γάρ ἐστιν ἡ λέγουσα ἐντολή· "ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί; καὶ ἐὰν ἀγαθοποιῆτε τοὺς ἀγαθοποιοῦντας ὑμᾶς, ποία ὑμῖν χάρις ἐστί"; διὰ ταῦτα ἡμεῖς οὔτε τῆς εὐεργεσίας, οὐδὲ μετὰ τὴν ἀπάτην, τὴν σὴν ἐκβάλλομεν σύνεσιν. σὸν δ' ἂν εἴη λοιπόν,

---

4 ἄλλον ὀφείλοντα] accusativus absolutus. 5 cod. τὶς. 11 cod. ἀλητήριον. 17 cod. λύσαι. 28 Luc. vi, 32, 33. 30 cod. ὑμεῖς.

*

ὅπως ἂν ‖ διαλύσῃς τὰ ἐπιφερόμενα τῷ ἐκεῖθεν λογοθεσίῳ, τὰ σὰ p. 726
ἐπισκέψασθαι.

18 (σϙη′).

Κωνσταντίνῳ σπαθαρίῳ καὶ δεσπότῃ.

Οὔτε τῶν βασιλικῶν προσταγμάτων οὐδέν, ἃ κατενώπιον τῆς ἡμῶν μετριότητος διετάχθη σοι, φόροις ἀλλοτρίοις καὶ τέλεσι τὰς τοῦ θεοῦ ἐκκλησίας βαρύνειν ἐπέτρεπεν, οὔτε οἱ πρὸς ἡμᾶς σου λόγοι τοιαύτας ἐλπίδας ὑπέτεινον. νῦν δέ σέ φασιν τοῦτο ποιεῖν καὶ τῶν δοθέντων ἐντολῶν ἀλογήσαντα καὶ ὀλιγωρίαν πολλὴν τῶν πρὸς ἡμᾶς σου ποιούμενον ὑποσχέσεων. εἰ μὲν οὖν κατεψεύσαντό σου τῆς ἀρετῆς, αὐτά σου τὰ ἔργα καὶ αἱ πράξεις τὸν ἔλεγχον δώσουσι, καὶ ὅσον συκοφάντας καὶ τοῦ ψεύδους ἐραστὰς τοὺς κατειπόντας σου παραστήσουσι, τοσούτῳ καλόν τε καὶ ἀγαθὸν καὶ κρείττω φθόνου καὶ διαβολῆς, ὅπερ ἡμῖν ἐράσμιον, ἐπιδείξουσιν· εἰ δέ γε ἀντὶ τοῦ συκοφαντεῖν οἱ κατειπόντες ἀληθεύειν, ὅπερ ἀπευχόμεθα, φανήσονται, οὐδὲν ἄλλο ἡμῖν ἢ τὸ τοῦ θεσπεσίου Δαυίδ, οὐκ ἐξονειδίζουσι μᾶλλον, καίτοι καὶ τοῦτο δίδωσιν ὁ καιρός, ἀλλὰ θρηνολογοῦσιν, ὑπολείπεται φθέγγεσθαι· “πάντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός”.

19 (σϙθ′).

Θεοφάνει ἀρχιεπισκόπῳ Καισαρείας.

Ὑπὲρ μὲν ὧν τὸ θεῖον τὰ μὲν ἐν ἀρχαῖς εἰς σωτηρίαν ὁρῶντα τῇ καθ᾽ ἡμᾶς ἁπάσῃ πολιτείᾳ ἐπεδείξατο, τὰ δὲ τοῖς τε φθάσασι καὶ τοῖς φυομένοις οὐ [τὰς] φαυλοτέρας ἐλπίδας, ἀλλὰ τὰς ἀμείνους ἡμῖν ἀνέχειν παρέσχετο, οἷά περ ὑπ᾽ ὄψιν ἄγον τὴν ἐπὶ τοῖς μέλλουσι θυμηδίαν καὶ ἀπόλαυσιν, αὐτῷ τὸν ὀφειλόμενον αἶνον καὶ τὴν εὐχαριστίαν ἀνεπέμψαμέν τε καὶ εἰς ἀεὶ φέρειν ὑπὸ χρέους ἀνωμολογησάμεθα, καὶ σοὶ περὶ τὴν χάριν τῶν εὐαγγελίων μὴ ἠγνωμονήσαμεν· ὅτι δὲ θλίψεις ἔτι μετρεῖς ἀδοκήτους καὶ συμ-

19 Psalm. LII, 4. 22 Theophanes protothronus. Symeonis mag. annales, p. 461. 23 cod. ἐναρχαῖς ‖ cod. ὁρῶνται. 24 cod. ὑμᾶς. 25 cod. οὐ φαυλοτέρας. 26 cod. ὑμῖν. 30 cod. ἀγνωμονήσαμεν.

p. 727 φοραῖς ἀπηλγημέναις, ὡς ἂν ὁ λόγος φαίη, ἄλγος ‖ ἀγείρεις καὶ τῶν μηκέτι ὄντων ἀκμάζουσαν τὴν μνήμην ἔχεις καὶ δυσφορεῖς ἐφ' ᾧ τὸ θεῖον τοῦτο μὲν ὑφορώμενόν σου τῶν νῦν ἐχόντων οὐχ ὅμοια, τοῦτο δὲ καὶ τῶν ἐχθρῶν, οἷα τὰ ἀνθρώπινα, τοιαῦτα ζητούντων ἰδεῖν (ἐξ ὧν τοῦ φθόνου ῥαΐζουσι) καὶ τὸν καιρὸν ἐκεῖνον εἴπερ τινὰ ἄλλον ἐπιτήδειον εἶναι πρὸς τὰς αὑτῶν ἐλπίδας νομισάντων, μηδέτερα μὲν τούτων προελθεῖν παρεχώρησεν, ἔτι δὲ μᾶλλον τὰ σὰ διακοσμῆσαι εὐδόκησε (δι' ὧν σοὶ μὲν ἀντὶ τοῦ στερηθῆναι προσθήκη γέγονε δόξης, τοῖς δὲ μισοῦσιν ἀντὶ τῶν κρότων καὶ τῆς εὐφροσύνης αἰσχύνη καὶ ἀμηχανία κατέλαβεν), οὐκέτι ταῦτα ἐπαινεῖν οἶδα, οὐδ' ἐπαινέσομαι· πρῶτον μὲν δι' ἅπερ εἶπον, ἃ καὶ σύ, πρὸς ἑαυτὸν ἐπιστρεφόμενος καὶ λιπὼν ἔξω πάντα τὰ ἀλλότρια (ταῦτα δέ ἐστιν ὅσα συγχεῖ καὶ διαταράττει τὸ κριτήριον), εὖ οἶδ' ὅτι ψέγοντας μᾶλλον ἡμᾶς ἢ ἐπαινοῦντας καὶ αὐτὸς ἀποδέξῃ· δεύτερον [δ'] οὐκ ἄν τις τὰ παρεληλυθότα λογοθετεῖ καὶ περὶ αὐτὰ τοὺς λογισμοὺς στρέφει καὶ πέπηγεν, εἰ μὴ τῶν ἐγκεχειρισμένων (ὅσα τε πάρεστιν ἤδη καὶ ὅσα τοῦ μέλλοντος τὰς ὠδῖνας διαλύει) τὴν ὀλιγωρίαν ἔχει· τοῦτο δὲ καταμαρτυρεῖ τῆς μὲν καταπιστευθείσης σοι θείας ὑπερεσίας οὐχὶ τὴν ὀφειλομένην πρόνοιαν καὶ μελέτην ποιεῖσθαι, τῶν δὲ μηκέτι ὄντων ἀνεξάλειπτον φροντίδα. ἐπὶ τούτοις φοβερὸν καὶ μέγα καὶ θεῖον καὶ ἀγγελικῶν τάξεων τὸ τῆς ἀρχιερωσύνης ὡς ἀληθῶς προεληλυθὸς δῶρον· ἐφ' ᾧ, εἴ τις στένει καὶ λήθην οὐκ ἔσχε τῶν φθασάντων λυπηρῶν, οὐδ' ἀδοξίας καὶ διαβολῆς ἀλόγου νομίζει λύσιν, οὐκ οἶδα ἐφ' ὅτῳ ἡσθείη, οὐδ' οἷον ἄλλο φάρμακον εὑρήσει ἀκεσώδυνον, καθαῖρον ταῦτα καὶ ἀποσκευαζόμενον. καὶ τούτων πλείω λέγειν ἔχοντά με, οὐδὲ βουλόμενον ὅμως μᾶλλον ἐπέσχε τὸ Σολομώντειον ἐκεῖνο· "δίδου σοφῷ ἀφορμὴν καὶ σοφώτερος ἔσται"· οὐκ οὖν τῆς σῆς ἀρετῆς, οὐδὲ τῆς ἄλλης συνέσεως, οὔτε τῆς ἡμετέρας εὐχῆς, οὐδὲ παραινέσεως, ἀλλ' οὐδὲ τῶν περὶ σὲ ἐλπίδων
p. 728 οὔτε τὸ μεμνῆσθαι ταῦτα, οὐ μὴν οὐδὲ σκυθρωπάζειν, οὐδὲ ‖ κα-

---

1 cod. ἐγείρεις. 3 cod. ἐφῶ. 6 cod. εἴπέρ τινα ‖ cod. αὐτῶν. 7 cod. μὴδ' ἕτερα. 8 σοὶ] cod. σὺ. 9 τοῖς μισοῦσιν] sic codex; lege τοὺς μισοῦντας. 1 δ' addidi. 28 Prov. ix, 9. 29 cod. οὐκοῦν.

*

τήφειαν ἔχειν, οὐδ᾽ ὡς μειζόνων ἐστερημένον, τὰ κάλλιστα πάντων καὶ τιμιώτατα ἐπανηρημένον, ὀδύρεσθαι. καὶ οὔπω λέγω τὸ τῆς ἀρχιερωσύνης ἀξίωμα, ἀλλὰ [τὸ] τοῦ φθόνου θραῦσαι μετὰ τοῦ μείζω δόξαν περιλαβεῖν τὰς ἀδικίας, τοὺς θορύβους φυγεῖν, δι᾽ ὧν πολλάκις τὸ πρὸς τὴν ζωὴν ἐμαραίνετο φίλτρον, τὰς μηδὲν ὀχληρὸν κατὰ μηδενὸς πραττόντων ἡμῶν, ὅσα γε εἰς ἀνθρωπίνην σπουδὴν καὶ δύναμιν ἥκει, μηδέ τινας ἐπηρεαζόντων ἀνελπίστους καθ᾽ ἑκάστην αἰτιάσεις τε καὶ συκοφαντίας. πόσα ἄν τις εἴποι; ἀλλὰ πρὸς μὲν ἄλλους ἴσως, πρὸς δέ σε καὶ τὰ ῥηθέντα, οἶμαι, περιεργότερον.

Τὸν δὲ στρατηγὸν καὶ τῆς δικαιοπραγίας καὶ τῆς ἀνδραγαθίας καὶ τῆς εὐσεβείας ἀποδεχόμενοι, καὶ τῆς πρὸς σὲ καθαρᾶς διαθέσεως καὶ τῆς πρὸς ἡμᾶς εἰλικρινοῦς εὐνοίας τε καὶ ἀγαπήσεως— πῶς γὰρ οὐκ ἄν τις ἀποδέξαιτο ταῦτα;—, τά τε ἄλλα καὶ διότι εἰς τὴν τοῦ θεοῦ ἐκκλησίαν τὸ κλέος καὶ τὴν τιμὴν διαβιβάζει καὶ διὰ τῆς ἐκκλησίας εἰς αὐτὸν ἐκεῖνον τὸν ταύτης νυμφίον, Χριστὸν τὸν ἀληθινὸν θεὸν ἡμῶν, διὰ ταῦτα γοῦν εὐχόμεθα μισθὸν ἀντὶ τούτων τε καὶ τῆς ἄλλης καλοκἀγαθίας εὑρεῖν τὸ μηδέποτε τῶν τοιούτων καλῶν καὶ ἀγαθῶν ἀποστῆναι· οὕτω γὰρ αὐτῷ καὶ ἡ ἄνωθεν μακαριότης καὶ τὰ γέρα βεβαίως περιγενήσεται.

Ἡ δὲ πρὸς τὴν τοῦ θεοῦ ἐκκλησίαν τῶν διεσπασμένων τε καὶ διερρηγμένων ἕνωσις καὶ τῆς σῆς συνέσεως ἀπόδειξιν ἔχει καὶ τὴν ἡμετέραν τῶν ταπεινῶν εὐχὴν οὐκ αἰσχύνει.

Τὸν δὲ σὸν πρεσβύτερον, ὃν εἶναι πρῶτον οὐ τάξις, ὡς γράφεις, ἀλλὰ συνήθεια γυμνὴ πραγμάτων παρέσχε—τοὺς γὰρ ἐφεξῆς οὐκ ἔχει — τῇ σῇ κρίσει καὶ δοκιμασίᾳ ἡ ἡμετέρα μετριότης ἐγχειρίζει. διὸ καὶ τῆς ἐπισκοπῆς, ἧς ἂν αὐτὸς ἐπιστατεῖν καταστήσεις, θεοῦ πνεύματος συνεργίᾳ ἐπιψηφίζεται κατέχειν τὰς ἡνίας.

Τὸν δὲ τοῦ Δασβέντου Ξυράφιον, ὡς τὸ σὸν ἐδήλου γράμμα, ἔτι τὰς τρίχας τοῦ Ἠσαῦ οὐκ ἐν τῷ δέρματι μόνον ἀλλ᾽ ἐν μέσῃ

3 τὸ inserui. 7 cod. τινὰς. 8 cod. καθεκάστην. 17 cod. διαταῦτα. 26 an οὐκ ἔχει [βαθμούς]? 28 cod. συνεργεία. 31 τὰς τρίχας τοῦ Ἠσαῦ] Gen. xxvii, 12, 73.

καρδίᾳ φύοντα καὶ οὐδὲν τούτων ἀποξυράμενον, ἀλλ' ἀπ' ἐναντίας τὴν γνώμην, τὴν κλῆσιν, φέροντα, οὐδ' ὅπερ, καί περ ἄξιον ὄντα, τῶν τῆς ἐπισκοπῆς πρωτοτοκίων ἀπελαθῆναι ἡ ἡμετέρα βούλησις ἐπιτρέπει, ἀλλὰ παραινοῦμεν ἔτι ἀγωνίσασθαι ἀναδιδάξαι τε αὐτὸν καὶ νουθετῆσαι πρὸς τὸν Ἰακὼβ ἐπιστραφῆναι καὶ νοῦν ἀναλαβεῖν ὁρῶντα θεόν, καὶ μὴ γενέσθαι τοῦ πονηροῦ βρῶμα καὶ θήραμα. εἰ δὲ ἔτι τῆς πλάνης καὶ ἀπάτης τὸν τοῦ θεοῦ νοῦν προδίδωσί τε καὶ ἀντικαταλλάττεται, κατὰ γὰρ τὸν μακάριον Παῦλον "ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν", οὐκέτι ἐσμὲν ἡμεῖς ἔνοχοι τῆς ῥομφαίας, ἥτις τοὺς μὴ ἀναγγείλαντας ταύτην ἐρχομένην κατὰ τῶν ἀδελφῶν ἀπαιτεῖ τὸ αἷμα καὶ τῆς σιωπῆς καὶ ἀμελείας τὴν δίκην εἰσπράττεται. ἀλλ' αὐτὸς μὲν ἐφ' ἑαυτὸν οὗτος, καὶ ἀνιωμένων ἡμῶν, ἑλκύσει τὴν πληγήν· πλὴν οὐδ' οὕτως ἕτερον εἰς τὸν αὐτοῦ θρόνον ἀντικαταστῆναι διοριζόμεθα, πρὶν ἢ τὴν παραίτησιν ἔγγραφον τῆς οὐκ οἶδ' ὅπως αὐτῷ περιτεθείσης ἀρχιερωσύνης ποιήσαιτο (ἐνεφέρετο γάρ σου τοιοῦτόν τι βούλεσθαι αὐτὸν κἂν τῷ γράμματι), ἢ συνοδικῇ ὑποβληθεὶς κρίσει τε καὶ ἐξετάσει τῆς τῶν κανόνων, ὥσπερ μέχρι νῦν συμπαθείας καὶ φιλανθρωπίας ἀπήλαυσεν, οὕτω πεῖραν λάβοι καὶ τῆς ἀκριβείας τε καὶ δικαιοσύνης. ὁποτέρου δὲ τῶν δύο προκεχωρηκότος, τηνικαῦτα, ὃν ἂν ἡ σὴ θεοφιλὴς ὁσιότης ἐπ' ἐκλογῇ θείῃ (καὶ γὰρ καὶ τούτῳ σε τῷ προνομίῳ ὑπὲρ τοὺς πολλοὺς τῶν ὁμοταγῶν, μᾶλλον δὲ πάντων, σεμνύνειν αἱρούμεθα), τοῦτον δὴ τὸν παρὰ σοῦ ἐξειλεγμένον καὶ προκεκριμένον ἀντικαταστῆναι τῷ τοῦ Δασβέντου θρόνῳ, καὶ τὴν ἐφορείαν ἀναλαβεῖν, καὶ ἡμεῖς συναινοῦμέν τε καὶ καταπιστεύομεν. πλὴν ἐκεῖνον, εἰ ἄρα γε αὐτὸν τοιοῦτον μέχρι τέλους παραστήσει τὸν τῆς ἀπειθείας καὶ ἀποστασίας ἄνθρωπον, τὴν ἀξίαν δίκην λαβόντα, οὐδ' οὕτως αὐτὸν ἀδείας ἐπιλαβέσθαι, ὥστε βλάπτειν ἑτέρους, παραχωρεῖν σε βουλόμεθα, καὶ πρὸς τῇ ἑαυτοῦ ἀπωλείᾳ τὸ τοῦ Χριστοῦ διαλυμαίνεσθαι ποίμνιον, ἀλλ' ἐν τῷ ἀσφαλεῖ γενέσθαι,

---

1 cod. ἀπεναντίας. 5 πρὸς τὸν Ἰακὼβ ἐπιστραφῆναι] cf. Genes. xxxiii, 4. 8 Cor. 1, ii, 16. 14 cod. πρινὴ. 16 κἂν] cod. καὶ. 21 cod. ἐπεκλογῇ. 26 cod. ἄρά γε || an [ὁ χρόνος] παραστήσει? 28 cod. αὐτῶν. 30 apogr. διαλυμαίνεται.

ὡς ἂν μηδὲ βουλόμενον δύνασθαι λωβᾶσθαι τοὺς πλησίον καὶ τοῦ οἰκείου καὶ ψυχοφθόρου μεταδιδόναι νοσήματος, θρηνεῖν δὲ μᾶλλον τὰ αὑτοῦ καὶ ἀπολο‖φύρεσθαι ἀνθ' οἵων οἷα ἠλλάξατο. p. 730

Περὶ δὲ τῶν συγγενῶν καὶ φίλων τῆς σῆς θεοφιλοῦς ὁσιότητος, ὅσα μὲν ἡμῖν πραχθῆναι θεὸς συνεργήσει, σπουδῆς λογίζου ταῦτα καὶ τοῦ πρὸς σὲ φίλτρου ζώπυρα· ὅσα δὲ μὴ γένηται τὴν σὴν ἰσχὺν ἡττᾶσθαι καὶ τῇ ἀτονίᾳ τὸν ἀγῶνα καταβραβεύεσθαι τοῦ βουλήματος, οὐκ ὀλιγωρίας οὐδὲ τῆς σῆς αἰτίας παροράματα. τὰ δ' ἄλλα ἔρρωσο καὶ τὰς σὰς εὐχὰς εἴη θεὸς διὰ παντὸς βεβαίας φυλάττων, τά τε ἄλλα καὶ ὅτι κοιναί εἰσι καὶ ἀμφοῖν αἱ αὐταί.

20 (τ').

Μητροφάνει μητροπολίτῃ Σμύρνης.

Εἰ τοσαύτην ᾔδειν φιλοσοφίας ὑμῖν ἐναποτεκεῖν σχολὴν τὸ πρὸς τὸν ἕτερον τῆς ἱερᾶς ὑμῶν ἀποστεῖλαι ξυνωρίδος, τοῦτο ἄν, εὖ ἴσθι, φίλων ἄριστε, σκοπὸν ἐβαλλόμην, καὶ διὰ τοῦτο ἂν εἴη, πρὸς τὴν τοιαύτην ἐληλυθὼς πρᾶξιν, οὕτω καλὰ τὰ ἡμέτερα καὶ οὕτω τῆς ἡδονῆς στάζοι καὶ τὴν τέρψιν ἔχοι ταῖς ἁμίλλαις συγχορεύουσαν· νῦν δέ, τἀληθοῦς γὰρ ἐραστὴς ἐγὼ καὶ φίλοις ἀληθείας γράφω, οὐ πρότερόν μοι τοῦτο ἐπὶ σκοπὸν ἤχθη· οὕτω γὰρ "ἥρωα ἐπ' ἀσπίδι ξενίσειν" ὑμᾶς, ὡς ὁ παλαιὸς λόγος, εὐτύχησα ἄν. ἀλλὰ γὰρ μαθὼν ὕστερον, ἴσως ἂν πρὸς ἑτέρους χρησαίμην. ὃ δέ μοι νῦν ἐπράχθη, περὶ οὗ καὶ τὸν ἀγῶνα βλέπω, αἰτίαν μὲν ἔχει μίαν, ὅτι οὔπω ἐπὶ τὸ αὐτὸ τὴν καλὴν ὑμῶν ξυνωρίδα ἠπιστάμην συνεῖναι, ἑτέραν δέ, ἣν αὐτὸς προλαβὼν ἔφης, τὸ τῇ σῇ διαθέσει τοῦ σώματος ἀνεπιτήδεια τὰ σταλέντα εἶναι. εἰ δὲ ὃ τῇ σῇ ὁσιότητι βλαβερόν, τοῦτο καὶ λυπεῖ, οὐκ οἶδ' ὅπως [ὃ] ἑτέρῳ ἀβλαβές, τοῦτο ἐκεῖνον οὐκ εὐφραίνει, εἰ μὴ ἄρα τὴν παροιμίαν, "ἄκρον λάβε καὶ μέσον ἕξεις", ἔγνως ἡμῖν προτείνειν· κολακεία δέ, ἵνα μὴ λέγω μείζονα, ἀλλ' οὖν τέως οὐκ ἐλάττονα ὕβριν τῷ κολακευομένῳ ἢ τῷ κολακεύοντι φέρει. ὥστε ταύτην τὴν αἰτίαν

16 cod. διατοῦτο. 18 cod. στάζει et ἔχει. 24 cod. ἐπιτοαυτὸ. 27 ὃ addidi. 28 παροιμίαν] Corpus paroem. II, p. 5, 264.

οὐκ ἐγώ, ἀλλὰ τὴν σὴν ἀρετὴν ἀφίημι δοκιμάζειν. υἱὸς δὲ γνήσιος
p. 731 καὶ φίλος πιστὸς καὶ μηδενὶ τῶν ὄντων τὰ τῆς ἀγάπης ἀλλατ‖τό-
μενος ὄργια αὐτὸς ἂν ἐμοὶ εἴης (καὶ οἶδα τοῦτο), ἐν δὲ τοῖς ἐτα-
ζομένοις ὁ τοιοῦτος οὐκ ἂν εἴη ἄξιος συναριθμεῖσθαι. τοῦ δὲ
προτιμώμενον μὲν χαίρειν, μὴ προτιμώμενον δὲ ἀνιᾶσθαι, ἡ προ-
ειρημένη ἄγνοια τοῦ συνδιατρίβειν ὑμᾶς μετ' ἀλλήλων διωθεῖται
καὶ παραγράφεται τῆς αἰτίας. εἰ δὲ ὁ δεξάμενος οἷς ἐδοξάζετο
ἥσθετο, τῆς ἰδίας ἐπιεικείας ἔδωκε σημεῖον, ἀλλ' οὐχὶ τῆς ἡμε-
τέρας φιλοτιμίας ἔλεγχον ἀφῆκεν, οὐδὲ γὰρ τὰ σταλέντα εἰς ἡδο-
νῆς ἀνεφέρετο λόγον. πλὴν ἐκεῖνο δῆλον, κἂν ἡμεῖς σιγῶμεν, ὡς
οὐδὲ λυπήσειν ἡμεῖς μελετήσαντες ταῦτα διεπεμψάμεθα τῷ φίλῳ.
ὁ οὖν τῆς εἰρήνης ἄγγελος, οἷς τὰ τῆς εἰρήνης φιλοσοφεῖται καὶ
πράττεται, οὐ μόνον ἐν τοῖς σπουδαίοις, ἀλλὰ καὶ ὅσα περ ἱεραὶ
πολιαὶ παίζειν οἶδεν καὶ νεανιεύεσθαι, αὐτὸς ὑμῖν καὶ τὸν τῆς
ἀληθείας στοχασμόν, ἴσως μὲν καὶ χωρὶς τῶν γραφέντων, παρα-
στήσειεν. τὸ δὲ ἀπαραδέκτους ἡμᾶς κρίνειν, εἰ τοὺς δύο ὑμᾶς
τῆς ἀληθείας θηρευτὰς φήσαιμεν, οὐκ αἰτοῦντός ἐστι μαθεῖν τὴν
ἡμετέραν διάνοιαν, ἀλλὰ προστάττοντος εἰπεῖν ἃ μόνον θέλγει,
κἂν μήτε γέγονεν, εἰ τύχοι, μήτε βουλοίμεθα. ἀλλὰ γὰρ "ὁ βαλών",
φησὶν ἡ παροιμία, "καὶ ἰάσεται"· ἐξιάσατο γὰρ τὴν ὕβριν ἡ τιμὴ
καὶ τὸ φάρμακον τὴν πληγήν. ποῖον τοῦτο; τὸ καταπιστεῦσαι τῇ
ἡμετέρᾳ κρίσει τῆς σῆς μακαρίας ψυχῆς τὸ γυμναζόμενόν τε καὶ
στασιαζόμενον. τὰ δ' ἄλλα εἴης ἡμῖν ἐρρωμένος ψυχῇ καὶ σώ-
ματι καὶ φιλοσοφῶν ἐν τοῖς σπουδαίοις, μηδ' ἐν τοῖς παίζουσι δὲ
τῆς φιλοσοφίας ἀφιστάμενος.

21.

p. 732 ‖ Παύλῳ ἀρχιεπισκόπῳ Θεσσαλονίκης.

Ἐπειδὴ περὶ τῶν ἄρτι προσιόντων τῇ τοῦ θεοῦ ἐκκλησίᾳ
διηρώτησας, ἐκεῖνο ἄν σοι φαίην, οὐκ ἀφ' ὑψηλοῦ τοῦ θρόνου
καὶ δικαστικῆς ἐξουσίας, ὡς ἄν τις οἰηθείη, ἀλλ' ἄνωθεν μὲν καὶ
ὡς ἂν οἱ θεῖοι νόμοι θεσπίσαιεν, διὰ τῶνδε τῶν πραγμάτων φέ-

---

27 sine num. in codice.

* *

ρων τὰς ψήφους, καὶ οἷς ἂν τὸ τῆς ἀληθείας κάλλος, κομμωτικῆς χωρὶς περινοίας, ἐμφανίζοιτο, ὡς τούς γε μετὰ τοσαύτην χρόνου τριβήν τε καὶ πάροδον, ἀφ' οὗ τὸ τῆς ἐκκλησίας κράτος δι' εἰρήνης τε βαθείας καὶ κοινῆς ὁμονοίας ἐστερέωσέ τε καὶ οὕτω λαμπρὰν αὐτῆς καὶ ὑπερφυῆ παρέσχεν ὁρᾶσθαι τὴν ὡραιότητα —, τοὺς οὖν μετὰ τοσαύτην ἀστραπὴν τῆς ἀληθείας, μετὰ τοσαύτην χρόνου παράτασιν, προσιέναι βουλομένους, οὐχ ἁπλῶς οὐδ' ὡς ἔτυχε χρὴ παραδέχεσθαι, ἀλλὰ μετὰ πολλῆς μὲν τῆς ἐπιστροφῆς, θερμῆς δὲ τῆς μετανοίας καὶ ὀξείας καὶ ἀνυποκρίτου τῆς σφῶν, ἐφ' οἷς ἐβράδυναν, καταγνώσεως· εἰ γάρ τις αὐτῶν προσιέναι μὲν διατείνοιτο, μὴ σφόδρα δὲ καταγινώσκοι ἑαυτοῦ, ἐφ' οἷς τε τῶν πολεμίων ἦν καὶ τῆς φάλαγγος αὐτοῦ πρὸς ὁμόνοιαν διαλυθείσης αὐτὸς ἔτι πολεμεῖν προσεφιλονείκει καὶ τοῖς λειψάνοις τὴν ὅλην παράταξιν ὑπεκρίνετο, οὐ μόνον ἀποδοχῆς αὐτὸν οὗτος ὑπερόριον ἀλλὰ καὶ ὡς ἀληθῶς ἀποφαίνει τρισάθλιον, μάλιστα, εἰ καὶ σεμνύνειν ἁμωσγέπως, ὡς ἔγραψας, ἃ διέφυγε πειρᾶται· καὶ τὴν τάξιν γὰρ ἔλιπε τῶν δυσμενῶν, ἣν ἐπλήρου, καὶ τὸν χορὸν τῆς ἐκκλησίας, ᾧ προσδραμεῖν ὡμολόγησε, διαπαίζει. καὶ ἃ μὲν ἔλιπε, [πάντως] οὐκ ἔχει· ἃ δὲ προσλαβεῖν ἔδοξεν, ὁμοίως οὐκ ἔχει· ἐν γὰρ τῷ τῶν καταλειφθέντων ἐπαίνῳ τοὺς προσλαβόντας ὑβρίζων ἀμφοῖν ἐχθρὸς μᾶλλον ἢ θατέρου γνωρίζεται φίλος· ἐρράγη γὰρ τῶν φθασάντων καὶ τῶν δεξαμένων τῷ τῆς συναφῆς ἑαυτὸν διασχίζει νόθῳ. ἔλιπες ἃ κατεῖχες; ὅλον τὸν ἐν ἐκείνοις ἔρωτα καὶ τοὺς ἐπαίνους στρέψον οἷς νυνὶ || προσδραμεῖν ἔγνως. ἀλλ' ἐπαινεῖς ἃ λέλοιπας; τί σαυτὸν p. 733
ἐστέρησας τῶν ἐπαινουμένων καὶ προσέδραμες ἐκείνοις, ὧν τὴν ὕβριν πλέον νῦν ἢ πρότερον καταχέεις; ἔξω μὲν γὰρ τούτων ἑστὼς ἄδηλον, εἰ προσελθὼν ὀλοψύχως ἠσπάσω, καὶ τὸ πολεμοῦν οὐκ ἀξιόπιστον πρὸς διαβολὰς τοῦ ἀντικειμένου· νῦν δὲ καὶ προσελθὼν καὶ θειάζειν πολλοῖς καὶ πολλάκις διομολογῶν, καὶ ἀμείνω λέγων τὰ παρόντα τῶν φθασάντων, εἶτα πρὸς τὴν προτέραν καὶ

---

11 cod. καταγινώσκει. 19 post ἔλιπε codex locum habet vacuum, quem ego v. πάντως supplevi. 23 τῷ] cod. τὸ. 28 cod. ἠσπάσθω.

μαχομένην τούτοις δόξαν τοὺς ἐπαίνους ἀναφέρων καὶ δι' ἐκείνων πικρῶς τὰ θειαζόμενα πλύνων, σφοδρότερον ἢ πρότερον τὴν κατὰ τῶν νυνί σοι πρεσβευομένων ἀσέλγειαν πραγματευομένην καὶ αἰνίγματι τὰ σὰ ποιεῖς ὅμοια. ἃ μὲν οὖν ἐδόξαζον πρότερον, ὥσπερ τότε, καὶ νῦν ἐμοὶ τίμια· ἐκείνων δὲ ἀμείνονα εὑρὼν ἔλιπον. ἀλλὰ τὸ ἐκείνων τίμιον ὕβρις μοι τῆς νῦν δόξης, καὶ στέργειν μέν, ἃ κατέχω, βούλομαι, ἃ δ' ἔλιπον, ἀποτρέποντά με τῆς τούτων στοργῆς, ἐγκωμίων κρίνω ἄξια.

Ἆρ' οὖν τῶν Σφιγγὸς αἰνιγμάτων ταῦτα σαφέστερα; καὶ ποῦ ἂν εὑρήσωμεν τὸν Οἰδίποδα; ἀλλ' ἡμεῖς μὲν εὑρεῖν οὐ ζητήσομεν· οὔτε γὰρ εἰς ἀνάγκην χρείας, πλὴν ὅσα γε τῷ φιλανθρώπῳ συγκλειόμεθα, οὔτε κομψὸν ἴσμεν τὰς πλοκὰς εἰδέναι λόγῳ λύειν· ὧν ἡ λύσις οὐ λόγῳ, ἔργῳ δὲ μάλιστα περιγίνεται. ὁ δὲ δήσας, εἰ μὴ πρὸς ἐπιστροφὴν ἴδοι θᾶττον, ἴσως εὑρήσει καὶ τὸν Οἰδίποδα, ᾧ ἄμεινον πολλῷ, οἶμαι, ἦν μήτε δῆσαι τὰ τοιαῦτα, μήτε πράγματα ἔχειν ζητοῦντι τὸν λύσοντα. μέρους ὑπερμαχεῖ τις; εἰ μὲν τὸ ἀντιφιλονεικοῦν ἐξενίκησεν, εἶτα κατὰ τοῦ ποτὲ πολεμήσαντος συντηρεῖ τὴν μάχην ἄσπονδον τῷδε, εἰ καὶ ἐπὶ γόνυ τὴν ὁρμὴν καὶ ῥώμην ἔκλινεν, ὅμως τὴν δεξιὰν πολεμίαν ἀνατείνεται. ἐγὼ δὲ λιπὼν ταύτην τὴν φάλαγγα ὑπὸ τὴν κρατοῦσαν ἐμαυτὸν φέρων ἔταξα. οὐκέτι τοῖς ἐκείνης ἐπαίνοις ἐμαυτὸν ἂν ἀποτολμήσαιμι σεμνῦναι (μείζονα γὰρ ὁρῶ μοι φερό-
p. 734 μενον || τὸν ψόγον), οἷς τὴν ἧτταν φυγὼν τῆς νικώσης ἐγενόμην, καὶ γεγονὼς ἔτι τῆς ὑπεροφθείσης ἤρτημαι. πλὴν ἀλλ' οὖν γε τὸ τοῖς πάλαι συνοῦσιν, οὔπω τὴν στάσιν λελυκόσιν, ἀλλ' ἔτι προβάλλειν ἔνοπλον τὴν χεῖρα τολμῶσι, δοκεῖν τι πρὸς χάριν λέγειν, παρέχει μοί τινα καταφυγὴν τοῦ ἀστηρίκτου ἤθους καὶ τοῦ σεσοβημένου φρονήματος. οὔπω λέλυται τὰ ἐμά. ἄδηλον, εἰ τούτων πάλιν δεήσομαι. διὸ χρὴ τὰς ῥίζας ἐπαίνοις ἄρδειν καὶ συνεῖναι τῷ φρονήματι, ὧν ὁ κλάδος ἐκκοπεὶς ἐγὼ σὺν τοῖς ἀντα-

---

8/10 in margine σημείωσαι ὡρ(αῖον). 20 φάλλαγα] cod. φύλλαγα. 23 in margine ὡρ(αῖον). 26 cod. τί.

γωνισταῖς τῷ σώματι γέγονα. οὕτω μὲν χλεύης ὑπόθεσις γίνεται καὶ ἡ δοκοῦσα καταφυγή· εἰ δὲ μέρους μὲν ὑπερήθλουν, νῦν δὲ καὶ τὸ πολεμοῦν καὶ τὸ πολεμούμενον ἑνὸς γέγονε καὶ σώματος καὶ κεφαλῆς καὶ κράτους καὶ νίκης, ἐγὼ δὲ τῆς ὁλότητος ἐγενόμην, ἂν ἔτι φαινοίμην τοὺς ὑπὲρ τοῦ μέρους ἀγῶνας λόγου κρίνων ἀξίους, οὐκέτι γέλωτος δίκην ὀφείλειν ἀλλ' ἐσχάτην τιμωρίαν καὶ παντελῶς ἐμαυτὸν ἀσύγγνωστα πλημμελοῦντα διελέγχω· εἴποι γὰρ ἂν καὶ μάλα δικαίως ὁ τῶν ὅλων κριτὴς πρὸς ἐμέ· "ἄνθρωπε, μέρους ἐδόκεις ὑπερασπίζειν, τὸ δὲ πρὸς τὸ ἀντίπαλον συνήφθη καὶ σῶμα γέγονεν ἓν καὶ κεφαλὴν ἐπεγράψατο ἐμέ, καὶ σὺ προσκυνεῖν τὰ ἑνωθέντα μετὰ τῆς κεφαλῆς οὐκ ἔξαρνος ἦσθα. πῶς τοῦ δεδιχασμένου μέρους ἐγκωμιαστὴν σαυτὸν εἰσάγων, ὃ νῦν ἐν διχοτομίᾳ μὲν παντελῶς οὐκ ἔστιν, εἰς δὲ τὴν ὁλότητα σαφῶς τε καὶ εὐσεβῶς ἀπεκρίθη, οὐ κατὰ τῆς ἐμῆς μὲν ἀποθαρσύνῃ δόξης, κατὰ δὲ τῆς ὁλότητος αὖ τῆς ἐμῆς ὁπλίζῃ ἐκκλησίας, κατὰ σαυτοῦ δὲ πρὸ τῶν ἄλλων ἁπάντων τὸν βρόχον διαπλέκεις; ἐκεῖνά σοι καλά; ἔσο μετ' ἐκείνων. ἐκεῖνα δὲ νῦν οὐδαμοῦ· μέρος γὰρ ἐχθρὸν οὐκ ἔστιν. τομῇ ἄρα σαυτὸν παραδίδως καὶ θᾶττον ἢ διὰ βρόχου· ὁ μὲν γὰρ βρόχος καὶ τοῦ πρὸς τὸ διαστῆσαι τοῦ σώματος τὴν ψυχὴν δεῖται, σὺ δὲ σαυτὸν τοῦ μὴ ὄντος ὁμολογῶν ἐραστὴν καὶ προστάτην αὐτοσχέδιον τὸν ὄλεθρον ἤνεγκας τῆς ψυχῆς, ὥσπερ οὐδὲ ταῖς ὡρισμέναις ἄνωθεν τιμωρίαις στοιχῶν, ἀλλ' ἑτέραν σαυτῷ ποινὴν καινοτέραν ἐπινοῶν· δεῖ γάρ, ὡς ἔοικε, καινῶν κολαστηρίων || ἐπὶ καινοτάτοις ἁμαρτήμασι". p. 735

Πόσα ἂν τοιαῦτα καὶ τὸ θεῖον ἄνωθεν καὶ πᾶς εὐσεβούντων λογισμὸς καὶ τῶν κειμένων νόμων ἡ ἰσχὺς κατὰ τῶν νῦν μὲν προστρέχειν ὁμολογούντων τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, μὴ ἀπὸ σπουδῆς δὲ πάσης καὶ γνώμης ἐντόνου καὶ εἰλικρινοῦς καταγινωσκόντων, ἃ πρὶν ἐφρόνουν, ἐπιψηφίσειε; τότε μὲν γὰρ ἐνῆν αὐτοῖς καὶ νομίζειν καὶ λέγειν (συγκεχωρήσθω γὰρ τανῦν τοῦτο· κρατεῖ γὰρ ἐκ περιουσίας ἔτι μᾶλλον ἡ ἐκκλησία καὶ τοῦτο διδοῦσα, ὅτι τὰ

15 αὖ τῆς] cod. αὐτῆς || cod. ὁπλίζει. 18 τομῇ] cod. τῷ μή. 23 cod. στυχῶν. 24 cod. ἐπικαινοτάτοις.

τῆς στάσεως αὐτοῖς δόξης ἀμείνονος)· ἐπεὶ δὲ ἐκεῖθεν εἰς τὴν τῆς ἐκκλησίας ὁλοκληρίαν μεταστῆναι διωμολογήκασιν, εἶτα τὰ παλαιὰ αὐτῶν οὐ διὰ μίσους καὶ διαβολῆς δοξάσματα ἄγουσι, τίς αὐτοὺς ἐξαιρήσεται λόγος τὸ μὴ οὐχὶ πεπλασμένην εἶναι καὶ τὴν πρὸς τὴν τοῦ θεοῦ ἐκκλησίαν αὐτῶν ἕνωσιν καὶ μήτε νῦν μήτε πάλαι τὰ παρ' αὐτῶν τότε τιμᾶν σεβαζόμενα; οἷς γὰρ ἐκεῖνα λιπόντες καὶ πρὸς ἕτερα μετατεθέντες ἐκείνων ἔπαινον ἔχουσι, σαφῶς ἐξελέγχουσιν ἑαυτούς, ὡς, καὶ τότε τῶν ἴσων ἐπαίνων ἀξιοῦντες καὶ συνεῖναι τοῖς ἐπαινουμένοις δοκοῦντες, οὐδὲν ἔλαττον πρὸς ἕτερα τὸν νοῦν ἀπησχόλουν. ἐξ ὧν γὰρ νῦν πράττουσι, τὰ πάλαι μηνύουσι καὶ τὸ πρὸς τὰ παρόντα τῆς ἑνώσεως νόθον καὶ τὴν εἰς τὰ προλαβόντα συνάφειαν τῆς ὁμοίας διαθέσεως ἐλέγχει. χωρὶς δὲ τῶν εἰρημένων, πῶς ἂν τις ἐν ἐπαίνῳ θείη [τὸν] ἧς ἐτύγχανε μοίρας [ἀπορραγέντα]; ἀπορραγεὶς γὰρ ἐκείνης, μερὶς καθ' ἑαυτὴν ἄλλη μετ' ἐκείνην, μᾶλλον δὲ καὶ κατ' ἐκείνης, ὑπέστη. ποίαν οὖν ἐπαινέσειε; τὴν προτέραν; ἀλλ' ἐκείνη τοῦτον ἀπώσατο καὶ αὐτὸς ἐκείνης διεκόπη, τῇ προσφάτῳ μερίδι τὴν πρεσβυτέραν ἐξομοσάμενος. ἀλλά γε τὴν τῆς μερίδος μερίδα καὶ ἧς προσεχῶς μετέστη; ἀλλὰ καὶ ταύτην ὁμοίως ἐξωμόσατο, καὶ τό γε πάντων ἀναισχυντότατον καὶ συγγνώμην ἅπασαν ἐκβάλλον, ὅτι καὶ ταύτης ἀποσπασθεὶς οὐδ' οὕτω φιλεῖ γενέσθαι τῆς κατὰ τὴν ἐκκλησίαν ὁλοκληρίας, ἀλλ' εἰς ἄλλην πάλιν μερίδα φιλονεικεῖ τεμεῖν ἑαυτὸν [καὶ] σύνθετον [ποιῆσαι] καὶ ἡμίτομον· ὁ μὲν γὰρ τῆς ἐκκλησίας χορὸς πόρρω τε τὰς τῶν
p. 736 ἐρίδων δόξας ἐλαύνει καὶ μόνον τὸ οἰκεῖον || φρόνημα θεῖον εἶναι καὶ θείας προνοίας λαμπρὸν καὶ ὑπερφυὲς εὐεργέτημα δοξάζει· οὗτος δὲ ἀπὸ μοίρας μερὶς ἀποσπασθείς, καὶ πάλιν ταύτης διαρραγείς, οὐκ ἀγαπᾷ τὸ μονότροπον τῆς κατὰ τὴν ἐκκλησίαν ὁλοκληρίας, ἐπὶ καινοτέρᾳ δὲ μερίδι καινοτέραν ἄλλην ἐπινοεῖ, ὥσπερ ὕπαρξιν ἑαυτοῦ καὶ σωτηρίαν τὸ κατατέμνεσθαι καὶ καταμερίζεσθαι καὶ καταφθείρεσθαι νομίζων. ἀποσπάδος γὰρ παραφυὰς γεγονώς, καὶ ταύτης ἑαυτὸν τῷ προσδραμεῖν τῇ ἐκκλησίᾳ διχάσας,

5/6 cod. μητέπαλαι. 13/14 τόν et ἀπορραγέντα inserui. 14/17 in margine χρ(υσοῦν) ὅλον. 17 cod. διεκόπει. 20 cod. ἐκβάλλων. 22 καί et ποιῆσαι addidi. 23 ἡμίτομον] cod. ἡμίονον 28 cod. ἐπὶ καινοτέρα. 31 τῷ] cod. τὸ.

εἶτα συναπτόμενος τοῖς ἐπαίνοις καινόν τι καὶ ἀλλόκοτον μερίδος τέρας ἑαυτὸν συνεπλάσατο, οὔτε τὰ τῆς ἐκκλησίας στέργων εἰλικρινῶς, καὶ πρὸς τὴν αὐτοῦ μερίδα μέρει μὲν συναπτόμενος, μέρει δὲ διατεμνόμενος.

Ὁρᾷς ὁποῖα τῶν τοιούτων ἡ διάνοια ἐκτιτρώσκει ἀμβλωθρίδια; πῶς οὖν τελεσφορηθείη ταῦτα; τί δὲ κέρδος δι' αὐτῶν συνεισάχθη τῇ τοῦ θεοῦ ἐκκλησίᾳ, οὕτω μορφαῖς ἀλλοκότοις διαπεπλασμένων καὶ μήτε μέλος χρηματίσαι τοῦ ἑνοειδοῦς τῆς ἐκκλησίας σώματος, μήτε ἄλλην τινὰ χρείαν παρασχεῖν δυναμένων, ἀλλὰ καὶ μέγα καὶ περιβόητον τὸ αἶσχος αὐτῇ ἐκ τοῦ δοκεῖν αὐτῇ γεγενῆσθαι προσεπιτριβόντων; τὸ καθεστηκὸς οὐ στέργων, πρὸς τὰ κινούμενα ἕτοιμος, ὑπερορῶν τὰ παρόντα, τὸ μὴ παρὸν ἀεὶ φανταζόμενος, ταῖς δόξαις ἀστήρικτος, ἐν φίλοις ἐπίβουλος. εὔξαιτ' ἄν τις τὸν τοιοῦτον ἐχθρὸν μᾶλλον ἢ κοινωνὸν ἔχειν διά τε τὰ εἰρημένα καὶ ὅτι ἐχθραίνων μὲν ἔξωθεν ἂν βάλλοι, εἰς οἰκείους δὲ νομισθείς, διὰ τῶν σπλάγχνων λανθάνουσαν τὴν πληγὴν φέρει. καὶ πρὸς μὲν ἐχθρὸν ῥᾷστα ἄν τις καὶ φυλάξαιτο καὶ ὅπλον λάβοι, ἐν τοῖς μέλεσι δὲ τὸν ἐπίβουλον φέρων, ὥσπερ τὸ φυλάξασθαι χαλεπόν, οὕτω καὶ τὸ καταβαλεῖν αἰσχρὸν καὶ ἐπικίνδυνον εὑρίσκει· τὸν γὰρ λῃστὴν ἐκκόπτων διὰ τῶν φιλτάτων δόξει τὸ ξίφος ἐλαύνειν. ἀλλ' ἐγὼ μὲν τῶν προσιόντων οὐδένα τοιοῦτον φαίην ἂν εἶναι καὶ εὔχομαι, εἰ δέ πού τις φωραθείη τοιοῦτος, ὃ μὴ γένοιτο, αὐτὸς τὴν ἐσχάτην ὑπέχων δίκην παράδειγμα σωφροσύνης καὶ ἀπροφασίστου διορθώσεως τοῖς || μετ' αὐτὸν ὑπὸ τῆς θείας δι- p. 737
καιοκρισίας προκείσεται. καὶ οὔπω εἶπον τὸ λαμπρὸν τῆς ἐκκλησίας δικαίωμα καὶ τὸ λαμπρὸν αὐτῶν τῆς καταγνώσεως καὶ ἄφυκτον αἴτιον· ἀρξαμένη γὰρ ἡ τοῦ θεοῦ ἐκκλησία, τῆς ἐν τῇ στάσει κατασκαφῆς ὑποληγούσης, ῥιζοῦσθαι, οὐκ ἐπ' αὐτοῖς ἀλλ' ἐπὶ θατέρῳ μέρει τὰς ῥίζας ἐβάλλετο. εἶτα ἐκεῖθεν αὐξομένη τε καὶ κρατυνομένη καὶ τέλος "εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ", ὥς φησι τὰ ἱερὰ λόγια, ἀναδραμοῦσα οὕτως ἔσχε τὸ μέρος αὐτῶν, καὶ τότε οὐχὶ κατὰ πάντας οὐδὲ κατὰ πλείστους, [ἀλλ'] ἐπ'

---

10 in margine ὡρ(αῖον). 17 cod. ὅπλων. 22 cod. τίς || cod. γένηται. 30 Ephes. IV, 13. 32 ἀλλ' inserui.

ὀλίγοις συναπτόμενόν τε καὶ συναρμολογούμενον· εἶτα πάλιν μιμητὰς τούτων τοὺς δευτέρους καὶ τρίτην τάξιν τοὺς ὑπολοίπους ἀναπληροῦντας.

Οἱ δὲ νῦν μεθ' ὅλης περίοδον πενταετίας καθ' ἕνα μάλιστα προσιόντες, οἷα δὴ σποράδες τε καὶ ἐν ἀριθμῷ βραχεῖ καταλελειμμένοι, οὔτε τρίτοι, κατὰ τὴν παροιμίαν, οὔτε τέταρτοι. οἵπερ, εἰ μὴ σὺν πάσῃ προθυμίᾳ καὶ ἀνενδοιάστῳ γνώμῃ τὴν προτέραν αὐτῶν μυσάττονταί τε καὶ διαπτύουσιν ἔριν, οὐδὲ τῶν οὐδῶν ἅπτεσθαι τῶν προθύρων τῆς ἐκκλησίας τυγχάνουσι δίκαιοι, ἔκπτωτοι καὶ τῆς ἰδίας γεγενημένοι μοίρας· καταλιπόντες γὰρ αὐτοὺς ἐκεῖνοι τῇ ἐκκλησίᾳ προσέδραμον καὶ εἰς σῶμα Χριστοῦ συναρμολογηθῆναι οὔμενουν οὐδαμῶς ἀξίους παρασκευάσαντες. ἀπεσπάσθης πρῶτον τῆς ῥίζης, εἶτα μερὶς ἐγένου τῆς προτέρας τομῆς, ἀποτμηθεῖσα καὶ καθ' ἑαυτὴν στασιάζουσα· ἐξεκόπης καὶ τῆς σῆς μερίδος, τῆς μὲν προτέρας σε καταλιπούσης καὶ πρὸς τὴν κοινὴν ἀναδραμούσης μητέρα, τῆς δευτέρας δέ σε καὶ πλήρωμα λαβούσης καὶ λείψανον. ποίας μερίδος ἐν τῷ ἑξῆς νῦν καὶ τῆς πάλαι διασπασθῆναι γέγονας, ἵνα καὶ ἐν ἐπαίνῳ ταύτην τολμήσῃς ποιεῖν καὶ οὐ καταδύεσθαι, ὁπόταν ἀνανήψας ἐννοήσῃς τὴν καθ' αὑτὸν ἐρημίαν καὶ τὸ ἀκέφαλόν τε καὶ ἀπροστάτευτόν σου καὶ ἀλλόφυλον τοῦ φρονήματος. τί οὖν φησίν; "ἆρ', ἐπειδὴ οὕτω τὰ κατ' ἐμὲ συνηνέχθη, ἀκερδής μοι λοιπὸν ἡ πρὸς τὴν ἐκκλησίαν καταφυγή, οὐδ' ἀνάκτησις || p. 738 ἔσται τοῦ σφάλματος, οὐδὲ σωτηρίας ἐλπίς"; καὶ μάλιστα ἂν φαίην ἔγωγε. ἀλλὰ πῶς, τῶν ἄλλων πλέον καὶ σφοδρότερον μισήσαντι τὴν στάσιν καὶ τὸ σχίσμα καὶ τὴν δόξαν, ἐν ᾗ σε λοιπόν τινες, οἱ συστασιῶται, ἀπεπήδησαν, καὶ τῶν ἐκκλησιαστικῶν σπλάγχνων τὸν ἔλεον ἐκζητῆσαι προκατέλαβον; ὃν μὲν γὰρ ὑστέρησας ἐπὶ τῇ σαυτοῦ σωτηρίᾳ χρόνον, τοῦτον ἀναλαβεῖν οὐκ ἔνι, οὐδ' ἴσον ἑαυτὸν τοῖς προλαβοῦσιν ἀποφῆναι. δύναιο δ' ἂν τῷ τόνῳ τῆς προθυμίας καὶ τῷ καθαρωτάτῳ τῆς ἐπιστροφῆς καὶ τῷ ὑπερβάλλοντι μίσει τῆς προκατασχούσης ἀπάτης καὶ τῷ διαπύρῳ ἔρωτι τῆς ἑνώσεως τῆς ἐκκλησίας καὶ τοὺς προλαβόντας

4 πενταετίας] ann. 880—885. 7 cod. συμπάσῃ. 16 cod. λαχούσης. 19 cod. κατ' αὐτόν.

φθάσαι, εἰ βούλει δέ, καὶ πολλοὺς αὐτῶν λιπεῖν ὀπίσω παθόντας δεικνὺς τῷ εὐδοκιμοῦντι ζήλῳ· ὅπερ ἐπεποιήκεσαν τῷ χρόνῳ—καὶ τῶν εἰρημένων βεβαίωσις—Παῦλός τε ὁ μετάρσιος ἄνθρωπος καὶ πολλοὶ ἄλλοι τῶν ἁγίων ὕστερον, κατὰ τὴν ἐκείνου μίμησιν πολλοὺς τῶν φθασάντων προλαβόντες.

Ἀλλ' οἷς μὲν οὖν ὁ προσιὼν εὐπαράδεκτος τῇ τοῦ θεοῦ ἐκκλησίᾳ γένοιτο, καὶ οἵοις τρόποις ῥυθμιζόμενος τῷ χορῷ τῶν ἁγίων ἑαυτὸν παρασκευάσει συναρίθμιον, εἴρηται· ὅπως δὲ τοὺς οὓς οἶδεν ἡ παραδοχὴ κυρίους μεθοδεύειν προσήκει τὴν τῶν προσιόντων ἐπιστροφήν, περιττὸν ἔμοι γε δοκεῖ τῇ σῇ διαγράφειν ἱερότητι, ἄλλους τε παιδεύειν καὶ τὰ μείζω τεταγμένῃ καὶ πολλὰ καὶ πολλάκις κατ' ὀφθαλμοὺς λαβούσῃ τὰ παραδείγματα· εἰ γὰρ καὶ μὴ ἡμέτερον λέγειν "μιμηταί μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ", ἀλλ' οὖν ὁ θεσπέσιος Παῦλος, Χριστοῦ μιμητὴν δεικνὺς ἑαυτόν, καὶ τοῦτο τοὺς μαθητὰς εἰς ἀρετῶν ἀνάγων προσέθηκε τελειότητα. πλὴν ἀλλά γε τὸ τῆς ὑποθέσεως ἀτελὲς καὶ τῶν μὴ κατ' ὀφθαλμοὺς ἐχόντων τὰ παραδείγματα τό τε περιττὸν εἰς χρείαν μεθίστησι καὶ ἡμᾶς ἀπειροκάλου γνώμης οὐ γράφεται, μάλιστά γε καὶ ὅσοις τῶν ἱερῶν θεσμῶν ἡ γνῶσις μὴ πρὸς τὴν σὴν ἀκρίβειαν ἀνατείνεται, τῆς τοιαύτης ἀναγκαίας οὔσης εἰσηγήσεως, ἄλλως τε καὶ ὅτι τοῦ ‖ προκειμένου τὰς ὑποθήκας δεσποτικαὶ φωναὶ p. 739 καὶ πράξεις καὶ θείων ἀνδρῶν μᾶλλον ἢ λογισμῶν κρίσεις ῥυθμίζουσιν. ἃ καὶ τῶν ἀκριβῶς ἐπισταμένων καὶ τῶν ὑστερούντων λαμπρὰν ἐναστράπτει ταῖς ψυχαῖς τὴν τῆς σωτηρίας αἴγλην ἀναπτυσσόμενα· ὁ γὰρ κοινὸς τοῦ γένους σωτὴρ καὶ τῆς φιλανθρωπίας ἡ ἄβυσσος εἰς οἵαν δόξαν καὶ τιμὴν τὴν τῶν ἐπιστρεφόντων ἀνάγει μετάνοιαν, λαμπρῶς ἐδήλωσεν εἰπών "χαρὰ γίνεται ἐν οὐρανῷ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι", καὶ οὐ χαίρει ὁ θεὸς ἐπὶ τοῖς ἐνενηκονταεννέα προβάτοις, ὡς χαίρει ἐφ' ἑνί, ὃ τῆς ἀπωλείας εὑρὼν ἀνεσώσατο. οὗ δὲ χαρὰ ἐν οὐρανοῖς ἡ μετάνοια, καὶ ὃς εὐφροσύνης ὑπόθεσις ταῖς ἄνω δυνάμεσι γίνεται, τούτῳ

2 cod. πεποιήκεσαν. 13 Corinth. 1, xi, 1. 27 Luc. xv, 7. 29 Matth. xvii., 13. 30/31 in margine ὡρ(αῖον).

τις τῶν ὁμογενῶν μὴ λίαν ἐφηδόμενος, πῶς οὐχὶ καὶ τὴν φύσιν ὕβρισε καὶ τὰς οὐρανίους τάξεις εἰς μῖσος ἐκίνησεν, ὃ τοῖς ἑτεροειδέσι παρασχεῖν εἰς ἔλεον ἔδραμεν, τοῦτο παρὰ τῶν πλέον ὀφειλόντων τοῖς ὁμοφυέσι καθορῶσας ἀφαιρούμενον; καὶ τί λέγω τὰς οὐρανίους τάξεις, ὅπου γε καὶ αὐτὸς ὁ κοινὸς δεσπότης καὶ τῶν ὅλων δημιουργὸς ἐπὶ τοσούτῳ χαίρει καὶ τὴν ἐπιστροφὴν οὕτω περισπούδαστον τίθησιν, ὡς καὶ τοῖς ἰδίοις ὤμοις οὐκ αἰσχύνην ἔχει τὸν πεσόντα λαβεῖν καὶ τῷ πατρὶ προσαγαγεῖν καὶ κοινὴν οἷς ὁ πεσὼν ἀνέστη τὴν ἑορτὴν ὑποστήσασθαι;

Ὁρᾷς, ὅσα ἡμᾶς παρακαλεῖ προθύμως καὶ περιχαρῶς τὴν τῶν πλησίον ὑποστροφὴν ὑποδέχεσθαι, ἡ φύσις, ὁ νόμος, ἡ τῶν ἀγγέλων ἀγαλλίασις, τὸ μὴ παθεῖν ἐκεῖνα, ἃ παθόντας ἡ πρὸς τὸ γένος πεπαυμένη τοῦ θείου ἀπέχθεια, διὰ μέσου πάλιν τῆς τῶν ἀσωμάτων δυνάμεως ἀνακαινιζομένη, διαδέχεται; αὐτοῦ τοῦ πλάστου τῆς φύσεως ἡ τοσαύτη σπουδὴ καὶ χαρὰ καὶ ἐπιμέλεια. προσῆλθεν ἀποστραφεὶς τῆς πλάνης ὁ ἀδελφός; φιλανθρώποις σπλάγχνοις ὑποδεξώμεθα, κεχαρισμένῳ προσώπῳ περιπτυξώμεθα, ἐναγκαλισώμεθα πατρικῶς, μηδὲν τῶν φθασάντων ὀνειδίσωμεν, μηδὲ τῆς προλαβούσης ἔχθρας τοῖς λειψάνοις τὸ πρόσωπον σχηματίσωμεν. μεγάλα ταῦτα τῷ θεραπείας χρῄζοντι καθίσταται
p. 740 τραύματα, ‖ ἀντὶ μοτώσεως πληγή, ἀντὶ καταδέσμων παράλυσις. ἀλλὰ τί; αὐτῆς τῆς καρδίας πᾶσαν κηλῖδα μίσους ἀποτριψώμεθα καὶ τὴν ὄψιν τὰ ἔνδον τῷ προσιόντι εὐαγγελιζομένην ἐπιδείξωμεν· μηδὲν αὐτούς, ὧν ἀξιοῦμεν, τοὺς φιλτάτους ὑστερήσωμεν. καίτοι γε, εἰ διὰ μνήμης ἐλέους ἐλθεῖν ὧν ἐζημίωνται βουληθείημεν, καὶ προσθήκην αὐτοῖς δυσωπεῖ πρὸς ἀναπλήρωσιν εἰσενέγκασθαι. οὕτως ἀνθρώπῳ διαναστάντι τοῦ πτώματος βεβαιοῦται ἡ ἀνάστασις, οὕτω στηρίζεται πρὸς διόρθωσιν, οὕτω κοινωνοὶ καὶ ἡμεῖς τῆς τοῦ πλησίον σωτηρίας εὑρισκόμεθα, οὕτω συνεργοὶ τῆς δεσποτικῆς προνοίας καὶ τῆς ἐκεῖθεν αὐτῷ φυομένης εὐφροσύνης καὶ ἀγαλλιάσεως. ὁ οὕτως ἑαυτὸν πρὸς τὴν τοῦ πλησίον καταρτίσας διάθεσιν

---

1 cod. τίς. 2 cod. μίσος. 4 τοῖς] cod. ὡς. 7 Luc. xv, 5, 6. 21 cod ἀντιμωτώσεως. 22 cod. κηλίδα. 31 p. 27, 4 in margine χρ(υσοῦν).

οὐδὲν τῶν ὑπούλων ἔνδον ὑποθάλπει, οὐδὲν τῆς παλαιᾶς ἀχθηδόνος διὰ μνήμης φέρει, οὐδεμίαν πρᾶξιν εἰς ἔχθραν ὁρῶσαν λογισμοῖς ἀναστρέφει, οὐδὲ| τῶν ἐκεῖθεν ἐχόντων ῥημάτων τὴν γένεσιν διὰ χειλέων προάγει· τὸ γὰρ πρὸς τὸν πλησίον ἀληθινὸν φίλτρον ταῦτα καὶ τὰ τοιαῦτα τῆς μνήμης ἀπαλείφει, τῶν λογισμῶν ἀπελαύνει, τῆς γλώσσης ὑπερορίζει· οὗ γὰρ ἄδολος στοργή, ποῦ τῶν λυπούντων ἡ ἐπιστροφή; καὶ οὗ σχολάζομεν τῇ σωτηρίᾳ, πῶς ἂν ὑπενεχθείημεν τὰς| τιμωρίας διαμελετᾶν αἰτίας; ἤκουσας τῆς δεσποτικῆς παραβολῆς, ὅσα ἐπὶ τῷ νεωτέρῳ παιδὶ τὸν εὔσπλαγχνον πατέρα ὑποβάλλει ἐξεργάσασθαι, τὰς νεωτεριζούσας πράξεις, τὴν τοσαύτην ἀποστασίαν, τὴν μακρὰν πλάνην, τὴν τῆς οὐσίας δαπάνην, τὸ ἄσωτον, τὴν τροφὴν τῶν χοίρων, εἶτα τὴν μεταμέλειαν, τὴν ἐκεῖθεν ἀναχώρησιν, τὴν πρὸς τὸν πατέρα ἐπάνοδον. καὶ τί τὸ ἐντεῦθεν; μία μετανοίας εἰλικρινοῦς φωνὴ ἐκεῖνα πάντα καταργεῖ τὰ πάθη, τὰ πατρικὰ διανοίγει σπλάγχνα, εἰς τὴν τοῦ υἱοῦ τάξιν εὐθὺς τὸν ὑβρίσαντα τὸ γένος ἀνάγει, τὴν στολὴν αὐτῷ περιβάλλει τὴν πρώτην καὶ τὸν μόσχον τὸν σιτευτὸν θύει. ἀλλ' ἡ λαμπρὰ πανδαισία καὶ ὁ δακτύλιος καὶ οἱ χοροὶ καὶ ἡ πανήγυρις, καὶ ὅσα ‖ ἄλλα ἐπὶ τῇ ἀνευρέσει τοῦ ἀπολωλότος παιδὸς p. 741 ὁ φιλότεκνος ἑορτάσας πατὴρ φιλανθρωπίας ἡμῖν καὶ συμπαθείας παράδειγμα καταλέλοιπε, τίνα ἂν ψυχὴν οὐχὶ συμπαθῶς καὶ φιλοφρόνως ἔχειν πρὸς τοὺς ἐπιστρέφοντας οὐ λίαν διεγείρει; οὐδὲ γὰρ οὐδὲ μέχρι τῶν ἴσων ἀξιῶσαι τὸν ἀπολωλότα τῷ σεσωσμένῳ τὴν φιλοτιμίαν ἵστησιν, ἀλλὰ καὶ πλείονι τῇ τε ἄλλῃ φιλοφροσύνῃ καὶ πανδήμῳ τιμῇ τε καὶ δόξῃ λαμπρύνει.

Τοῦτο ἡμῶν ταῖς διανοίαις ἀναστηλούσθω διὰ παντὸς τὸ παράδειγμα. πρὸς τοῦτο ῥυθμιζέσθω ἡ ἐφ' οἷς ὧν ἥμαρτον εἴδομεν ἀπαλλαττομένους τοὺς ἀδελφοὺς ἡμῶν γνώμη, καὶ οἷς ἄλλους ἂν ὁρῶντες ἐλλαμπρυνομένους εἰς μακαρισμὸν καὶ ζῆλον αὐτῶν ἐκινήθημεν, τούτοις ἑαυτοὺς ἐπιτηδείως παρ' ἄλλων λαβεῖν εἰς ἔρωτα τῆς μιμήσεως κινοῦντες ἀπεργασώμεθα. δεσποτικὴ ἡ πρᾶξις· μέγα κλέος δεσπότην δούλους μιμήσασθαι· κοινὸν τὸ κέρδος, μή,

9/17 Luc. xv, 11—27. 26 cod. διαπαντὸς. 27 cod. ἴδομεν.

δι' ὧν ἄλλοις τὴν μίμησιν οὐ τηρήσομεν, τηλικαύτης ἑαυτοὺς ὠφελείας ἀποστερήσωμεν. ὅσῳ ῥᾷστον ἡ πρᾶξις, ὅσῳ θεῖον, ὅσῳ σωτήριον, ὅσῳ λαμπρόν, ὅσῳ δόξης ἀνάπτει τῆς ἀνωτάτω, τοσοῦτον τῷ μὴ μετὰ σπουδῆς κατορθοῦντι τὴν κατάγνωσιν βαρύνει· τί γὰρ χαλεπὸν ἐναγκαλίσασθαι μετανοοῦντα τὸν ἀδελφόν; τί δὲ λαμπρότερον τοὺς δεσποτικοὺς τοῖς δούλοις οἰκτιρμοὺς ἐμὲ καταξιοῦσθαι τοῖς ὁμοδούλοις ἐπαρκεῖν καὶ πρὸς τὸ τῆς θείας προνοίας ἀξίωμα ἐμαυτὸν ὁρᾶν ἀνατρέχοντα, χεῖρα μὲν ὀρέγοντα τῷ κειμένῳ, συνιστῶντα δὲ καὶ συγκατορθοῦντα τὴν μετάνοιαν; πολὺν ὁ προσιών, κἂν ἐξ ὅλης ψυχῆς τῶν προτέρων ἀποπηδᾷ, τὸν θόρυβον ἐν ἑαυτῷ περιφέρει, αἰσχύνην ἐφ' οἷς ἔπραξε, δειλίαν· πῶς ἂν προσδεχθείη πρὸς τὸ παρόν, πρὸς τὸ μέλλον; τί ἂν εἴποιεν, οὓς κατέλιπε; τί δὲ λογίσαιντο, οἷς προσέδραμεν; ψιθυρίζει τις; τὰ ἡμέτερα διασύρεται. ἄλλος ἔχει κατήφειαν; τοῖς ἐμοῖς οὗτος
p. 742 ἄχθεται. ἐμειδίασεν ἕτερος; καταχέει μου τῆς ἐπιστροφῆς ‖ γέλωτα. καὶ οὔπω λέγω ὅσον οἶδεν ὑποκινεῖν καὶ ἀνασείειν καὶ δάκνειν τῶν συνήθων ἡ ἐρημία, ἡ συνδιατριβὴ τῶν ἀγνοουμένων. ποῦ δὲ οἱ κοινοὶ ἅλες, ἴσως δὲ καὶ αἱ ὅρκιοι δεξιαί, ὧν ἡ πρὸς τὰ ἐνταῦθα καταφυγὴ τὰς συνθήκας διελύσατο; πόθεν δέ μοι τῆς παρούσης κοινωνίας δώσει πίστιν τὸ εἰλικρινὲς καὶ καθαρὸν καὶ ἀναλλοίωτον καὶ τῶν προλαβόντων οὐχ ὅμοιον; καὶ γὰρ εἴπερ ἄλλοις τισὶ καὶ ἐπὶ τούτοις μέγα κράτος ἔχει τῆς λαβῆς τὸ ἀμφιδέξιον. οὐ προσδραμὼν ἐχθρός, προσδραμὼν δὲ ὑφορώμενος, προλαβὼν τοὺς ἄλλους ὁ εὐρίπιστος, ἀλλ' ὕστερον ἧκεν ὁ μόλις εἰς αἴσθησιν καταστὰς τοῦ συμφέροντος, καὶ τότε πάσης αὐτὸν διαγελασάσης ἐλπίδος.

Ταῦτα καὶ τὰ τοιαῦτα μεγάλα κέντρα καὶ μεγάλας πληγὰς ἐνίησι τῇ τοῦ προσήκοντος ψυχῇ· ὧν οὐδεμία ἴασις ἔξωθεν, ἀλλ' ἡ μετά γε τὴν ἄνωθεν πρόνοιαν, ἡ ἐξ αὐτοῦ τοῦ ὑποδεξαμένου ποιμένος σοφή τε καὶ φιλάδελφος μέθοδος. ἐκεῖνος μόνος δύναται τὸν τοσοῦτον σάλον κατευνάσαι, τὸν τάραχον κατακοιμίσαι, ἀμβλῦναι τὰ κέντρα, τὰς ὠτειλὰς ἐπουλῶσαι, ὄμμα δεικνὺς ἱλαρόν, ἦθος

1 cod. τηρήσωμεν. 13 cod. τίς.

*

ἥμερον, πρόσωπον φαιδρὸν καὶ μειδιῶν τὴν εὐμένειαν καὶ τὸ ὅλον εἰπεῖν πατρικήν, ῥῆμα συγγενὲς καὶ κατὰ μηδὲν τὴν τῶν σχημάτων νοθεῦον συγγένειαν, ὅμοιον τοῖς λόγοις καὶ τὰ ἔργα προβαλλόμενον, ὅσα τε ἐπὶ πολλῶν παρουσίᾳ καὶ ὅσα ἡ ἰδιάζουσα ὑποβάλλει χρεία παρόντος, ἀπόντος, αἰτοῦντος, αἰσχυνομένου τὴν αἴτησιν. ἐν πτώματι γέγονεν ὁ ἡμέτερος ἀδελφός; εὐχαριστήσωμεν οἷς μὴ συμπεσεῖν παρηνέχθημεν. εὐχαριστία δὲ μάλιστα θεῷ τὸ πρὸς τοὺς τραυματισθέντας ἔλεος, τὸ ἄλγος, ἡ συμπάθεια, τὸ ἄχθεσθαι ὑστεροῦντος, τὸ χαίρειν ἐπιταχύνοντος. μεῖζον τὸ πτῶμα; μείζων ἡ εὐχαριστία. ἀλλὰ μικρόν; πρόθυμον καὶ ταχεῖαν πρότεινον τὴν δεξιάν, ἵνα μὴ ὁ σὸς ὄκνος καὶ ἡ ἀναβολὴ μεῖζον παρασκευάσῃ τὸ κακόν. μικρὸν τὸ πτῶμα; καθ' ἑκάστην καὶ ἡμεῖς τοῖς ὁμοίοις περιπί‖πτομεν, μᾶλλον δὲ εἴθε μὴ τοῖς χείροσιν ἀλλὰ p. 743
τοῖς ὁμοίοις, ὡς ἐν ἐκλογῇ κακῶν τὸ κουφότερον· νῦν δὲ τὸ χαλεπὸν καὶ δυσπαραίτητον· οἷς δοκοῦμεν παρευδοκιμεῖν (δοκοῦμεν δὲ οἷς λανθάνομεν), τοῦ χείρονος ἐλεγχόμεθα· τὸ μὲν γὰρ αὐτῶν ἐμφανές, τὸ δὲ ἡμέτερον ὕπουλον, ἐξ ὧν τοῖς μὲν παραπέπηγε τὸ παρὰ πολλῶν ὄνειδος, τὸ δὲ λανθάνον διαφεύγει καὶ τὴν ἐπιτίμησιν. διὸ τὸ μὲν μετὰ τοῦ ἀνιᾶν τὸ συμφέρον καταπράττεται, τὸ δὲ συνδιακλέπτει τὸ παραλυποῦν τῷ συμφέροντι· ἡ μὲν γὰρ διαβολὴ μετὰ τοῦ λυπεῖν ἀφαιρεῖται τῆς εἰ μηδεὶς ἐπεμέμφετο τὸν αἰτιαθέντα ποινῆς. καὶ δικαιώσειεν ἂν αὐτὸν αὐτόθεν, εἰ στέγειν τὰ κοινὰ μελετήσειεν ὀνείδη καί, καρτερεῖν τὴν ὕβριν μὴ διαλυθείς, τοὺς προκατάρξαντας τοῖς ὁμοίοις ἀμύνεσθαι διαναστήσειεν. ὅσον δέ τις τῶν ἐν κρυφῇ ἔργων τὰς ἔξωθεν διαφεύγει λαβάς, τοσοῦτον ἡ δίκη πρὸς αὐτὸν ὀξύτερον ὁρᾷ, καὶ τὸ τοῦ ἁμαρτήματος βάρος οὐκ ἔχων ὅθεν περιθραυόμενον ἀνακουφισθῇ· ἡ γὰρ ταῦτα πλήττουσα καὶ διαλεπτύνουσα τέως ἡμῖν ἠρεμαία γλῶσσα οὐδαμῶς ἐπὶ συγγνώμην ῥέπουσαν τὴν στάσεως πλάστιγγα ποιεῖ. ὡς οὖν, τῶν μὲν ὑπὸ τῆς δίκης ἀφειμένων, ἡμῶν δὲ ἑκάστου ἐνεχομένου καὶ τῆς ὀφειλῆς ἧπερ πρὸς ἄλλο τι διαλύεσθαι πρὸς τὴν τῶν πλησίον συμπάθειάν τε καὶ δεξίωσιν ῥοπὴν ἄμαχον ἐχού-

1 cod. μειδιᾶν. 2 cod. καταμηδὲν. 10 cod. μεῖζον. 24 cod. διαναστῆς. 25/32 in margine χρ(υσοῦν). 28 cod. ἠρεμεῖα. 30 cod. εἴπερ. 31 cod. ἄλλό τι.

σης, οὕτω [δεῖ] διακεῖσθαι περὶ τὴν ὑποδοχὴν καὶ φιλοφροσύνην τῶν οὕτω μάλιστα προσιόντων, πᾶσαν σπουδὴν κεχρεωστήκαμεν συνεισάγειν, ἀνδράσι τε δε/δικαιωμένοις πείθοντες ἑαυτοὺς ἐναρμόζεσθαι, καὶ πλημμελημάτων ἀπαλλαγήν, τὴν ἐκείνων παρουσίαν παρ' ἡμῶν εὑροῦσαν τὸ εἰλικρινὲς καὶ ἀνύβριστον. ἡμάρτομεν; καὶ τί μεῖζον πρὸς ἁμαρτημάτων κάθαρσιν, ἢ ἡ περὶ τοὺς ὁμοιοπαθεῖς θεραπεία; οὐχ ἡμάρτομεν; τίς ἂν εἴποι; μᾶλλον δὲ πῶς οὐχὶ τῷ μεγίστῳ τῶν κακῶν, εἰ μόνον τοῖς λογισμοῖς τοιαύτην τόλμαν ἐλάβομεν, οὐχ ἑάλωμεν, μή τί γε καὶ γλώσσης προηνέγκαμεν; "τίς p. 744 γὰρ ἄνθρωπος || ἀπὸ ῥύπου καθαρός, κἂν μία ἡμέρα ὁ βίος αὐτοῦ"; πλὴν ἀλλ' ὅ γε λέγων μὴ ἁμαρτεῖν, οὐδὲ συμπαθεῖν ἐστιν ἄλλοις ἄξιος· ἡ τόλμα γὰρ τῆς ἐκτόπου καὶ παρὰ φύσιν οἰήσεως, προδιακόπτουσα τοῦτον τῆς τῶν συμπαθεῖν ἐχόντων τὴν χάριν δυνάμεως, παντελῶς ἀποκηρύττει καὶ τῆς τοῦ πλησίον συγχωρήσεως.

Ἡμεῖς δὲ εὑρόντες δι' ὧν τὰ χρέα διαλυσόμεθα καὶ τὸν κριτὴν ἐξιλεωσόμεθα, μηδαμῶς παραζηλώσωμεν τὴν ἐκείνων ἀπόνοιαν, μηδὲ τῷ καιρῷ ῥαθύμως χρησώμεθα, μᾶλλον δὲ μὴ δι' ὧν τοῖς σωφρονοῦσι κέρδος καὶ ἃ προκατείχομεν συναπολέσωμεν. ὥσπερ γὰρ τῷ συμπαθεῖ τὸν κριτὴν ἐξευμενιζόμεθα, οὕτω, καὶ μὴ συμπαθοῦντες, καὶ σφοδρότερον παροξύνομεν. ἐν τῷ λιμένι καθέζῃ; τὸν διὰ πελάγους ὑπόδεξαι χειμαζόμενον. ὁ τοὺς ναυαγοῦντας δυνατὸς ὢν σῴζειν οὐκ ἐπικουρῶν, οὐδὲ χεῖρα διδοὺς σωτηρίας, λῃστῶν καὶ καταποντιστῶν οὐδὲν διενήνοχεν, μᾶλλον δέ, εἴ τις ἀκριβῶς ἐπιστήσει, καὶ τὰ χείρω διαπράττεται. οἱ μὲν γὰρ ἐξ ὧν αὐτοῖς ὁ βίος τούτοις προσανέχοντες καὶ συμφοραῖς ἀλλοτρίαις τὸ ζῆν αὐτοῖς καπηλεύοντες οὐκ ἀπροσδόκητον οὐδ' ἀνέλπιστον τὸ κακὸν ἐπάγουσιν, οἷς ἐπιφέρουσιν· ὁ δὲ μὴ τὰ ἴσα τούτοις εἰς κέρδος ἔχων, τὸ μισάδελφον οὐδὲν ἔλαττον ἐπιδείκνυται. καὶ οἱ μὲν τὴν ψυχὴν ταῖς καθ' ἡμέραν τόλμαις προγυμνασάμενοι βάρβαρον, ὅμοιοι κἂν τοῖς ἐφεξῆς ἐπιδείκνυνται, ὁ δὲ μέχρι τῆς πράξεως φυλάττων ὁμόφυλον ἐν αὐτῇ τῇ χρείᾳ παρέχεται βάρβαρον. εἰ δ' ὁ σωμάτων χειμαζομένων ὑπερορῶν λῃσταῖς καὶ

1 δεῖ inserui. 2 cod. συνησάγειν. 3 cod./δικαιωμένοις. 10 Iob. XIV, 4. 11 in margine ὡρ(αῖον) γν(ωμικόν).

ὀλεθρίοις συντάττεται, ποῦ ἂν ταχθείη ὁ ψυχῶν κατολιγωρῶν χειμαζομένων, καὶ τότε σῴζειν ὡς ποιμὴν καὶ προκινδυνεύειν δύναμιν παρὰ θεοῦ καὶ ἀξίωμα λαβών; ἡ θεία μὲν πάλιν καὶ ἀψευδὴς διαπειλοῦσα παι||δεύει φωνή· "ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμε- p. 745
τρηθήσεται ὑμῖν, καὶ ἐν ᾧ κρίματι κρίνετε, κριθήσεσθε". τί ταύτης τῆς σωτηρίας ἑτοιμότερον; τί δὲ τῆς περὶ ταύτην ἀμελείας ὀλεθριώτερον; συμπαθὴς ἐγένου; σαυτῷ τὴν ἄνωθεν συμπάθειαν εἵλκυσας. πικρὸς ἐξεταστὴς τῶν ἀλλοτρίων ἁμαρτημάτων; ἡ σὴ κρίσις τὰ σὰ τῇ ὁμοίᾳ καθυποβάλλει βαρύτητι. ᾤκτειρας; ἐπεκάμφθης; πληγὴν ἐδέξω τὴν πληγὴν τοῦ ἀδελφοῦ; τῶν ἴσων καὶ αὐτὸς ἐν χρείᾳ δεηθεὶς οὐκ ἀστοχήσεις. ὑπερεῖδες; ἐβδελύξω; οὐδ' ἤλγησας τῷ πάθει, οὐδὲ κατέδησας τὰ τραύματα, οὐδ' οἶνον καὶ ἔλαιον ἐπέχεας τῷ συντρίμματι, οἰκτιρμοῖς κεράσας τὴν δεξίωσιν; τούτων ἁπάντων σαυτὸν ἀπεστέρησας, τοῦ κριτοῦ παρασκευάσας ἐν ὁμοίοις πάθεσιν ὁμοίαν σοι τὴν διάθεσιν. τὸ μέτρον ὥρισεν ὁ δεσπότης οἰκτιρμοῖς πλατυνόμενον· σὺ δὲ συστέλλων εἰς στενόν, τὰ τοῦ πλησίον μετρῶν ἁμαρτήματα, τῷ αὐτῷ μέτρῳ καὶ τὰ σὰ νόμον ἔθου μετρεῖσθαι διὰ τῆς πράξεως. συνηθείας ἴσως καὶ χρονίας ὁ προσδραμὼν διεσπάσθη; δεῖξον αὐτῷ τὴν πρώτην ἐντυχίαν. εἰ μὲν δυνατόν, μηδέν· εἰ δὲ μή, ἀλλ' οὖν γε μὴ πολὺ τῆς συνήθους γε καὶ φίλης λείπουσαν. ἡ τῶν καταλειφθέντων στέρησις ἐπὶ λύπην ἕλκει; ἀνθέλκυσον αὐτὸν εἰς χαρὰν διὰ τῆς ἐκεῖνα νικώσης προσλήψεως· πολλῆς προνοίας ὁ προσιὼν δεῖται, πολλῆς παρακλήσεως, πολλῆς ἀνακτήσεως, πολλῆς τῆς παραμυθίας. σκυθρωπὸν ἴσως, οἷς ἐβράδυνε, φέρει τὸ πρόσωπον καὶ ἀντὶ ψυχαγωγίας πληγὴν ἄλλην ἐπὶ πληγῇ· τὸ μεμψίμοιρον αὐτῷ διαμηχανώμενον, τὸ κατηφὲς εὐθὺς πικρῶς εἰς κατηγορίαν ἁρπάζει· τὸν νοῦν ἀσχολεῖ ὧν ἐστέρηται, τοῖς παροῦσιν ἀπεχθάνεται. ἀλλὰ φαιδρὸν παρέχεται καὶ ἐπίχαρι; ὡς ἰταμός, ὡς ἀναίσχυντος, ὡς ἀντὶ τοῦ συγκαλύπτεσθαι καὶ θρασύνεται. ἐπαρρησιάσατο ῥήματα; καταφρονητὴς εὐθὺς ἤκουσε. δι' εὐλαβείας τὰ φθέγματα; πολὺ τὸ δολερὸν καὶ ὕπουλον ἐνστερνίζεται. οὐκ οἶδεν ὅ τι καὶ πράξας τῆς τῶν

4/5 Matth. vii, 2.   5 cod. ἀντιμετριθήσεται.   13 cod. ἔλεον.

p. 746 μεμψιμοίρων ἑαυτὸν || ἀπαγάγει πικρότητος. εἰ θερμῶς προσέδραμε, τὸ τῆς μεταβολῆς ἐξονειδίζεται εὔκολον καὶ σφαλερὰν τὴν γνώμην ἐκ τῶν προλαβόντων φέρει πρὸς τὰ μέλλοντα. λογισμῶν κρίσει ἐπέτρεψε τὴν πρόσοδον; στερροτέρᾳ γνώμῃ κατασφαλιζόμενος τὴν μετάστασιν, τὸ νωθρὸν καὶ ἀργὸν καὶ δυσκίνητον καὶ ὅσα ἄλλα ἡ πρὸς τὰ χείρω κακουργεῖ τῶν ἐπαινουμένων μετάληψις, ταῦτα πάντα καὶ πολλῷ τούτων πλείονα τῶν προσιόντων περιΐσταται, τοὺς συνήθεις, οἵους ἀγνοεῖ διαδεχομένους τὴν ἑταιρίαν, τὸ ἀλλότριον, τοὺς φιλτάτους, ἵνα μὴ λέγω τὸ ἔχθιστον, ἀλλ' οὖν γε πάντως τὸ ὑπονοούμενον. πόσα ἂν φέροιτο βέλη διὰ τούτων πάντων καὶ τῶν τοιούτων κατὰ τοῦ προσδραμόντος ἐντεινόμενα, ὧν μετὰ τῆς ἄνωθεν ῥοπῆς καὶ προμηθείας ἓν ἀμυντήριον καὶ θυρεὸς εἷς, τὸν πανταχόθεν ὑπερασπίζον βαλλόμενον, ἡ τοῦ ποιμένος πανταχόθεν φροντὶς καὶ στοργὴ καὶ πρόνοια καὶ εὐμένεια; ἐγὼ τοὺς τὴν τοιαύτην γενναίως βαρύτητα φέροντας, τῶν μὴ ὁμοίως μὲν πεπτωκότων, οὔπω δὲ πεῖραν ὑπομονῆς, εἰ ταῦτα ἔπαθον, δεδωκότων, οὐκ ἂν ἐλάττους εἰς ἀρετῆς λόγον ἡγησαίμην. μᾶλλον δέ, εἰ μή τινας παραλυπεῖν εὐλαβηθείη τις, καὶ μείζονος ἂν ἀξιώσειε μοίρας· οἱ μὲν γὰρ τοῖς ἀνθρωπίνοις ὑποσυρέντες ὀλισθήμασι τό τε νῆφον καὶ ἐγρηγορὸς οἷς ἀνέστησαν ἔδειξαν καὶ τὸ γενναῖον οἷς οὐ κατενάρκησαν ὧν ὑπέστησαν· τοὺς δὲ τό τε ἄδηλον τοῦ παθεῖν καὶ πεσεῖν, τὸ μὴ κακοὺς φανῆναι φυλάττον, ὅσον τῆς φαύλης ὑπολήψεως συστέλλει, τοσοῦτον καὶ τῆς τοῦ ὑπενεγκεῖν ἀφαιρεῖται δόξης. ἄμεινον μὲν οὖν, ἴσως ἄλλος ἄν τις εἴποι, μήτε πεσεῖν, μήτε παθεῖν, μήτε τὸ ἀνδρεῖον οἷς ἐγκαρτερεῖν παρασχεῖν· δευτέρας δὲ πάντως ἀξιώσειε δόξης τὸν διὰ τῶν εἰρημένων βαδίσαντα. ἐγὼ δὲ φαίην ἂν τὸν διὰ τοῦ πεσεῖν καὶ παθεῖν τὸ γενναῖον ἐνδειξάμενον τοῦ διότι μόνον πρὸς τὸ πεσεῖν ἀντέσχε σεμνυνομένου,
p. 747 ἄλλο δὲ μηδὲν προβαλλομένου || τεκμήριον, οἷς μετὰ τὴν πτῶσιν, τήν τε συναίσθησιν καὶ διόρθωσιν, καὶ τὴν τῶν πειρασμῶν καρτερίαν οὐχ ὑβρίσειε.

3 cod. φέρειν. 8 cod. διαδέχοντας. 11 cod. προσδραμόντας. 12 cod. προμηθίας. 15/22 in margine σημείωσαι· ἴδε ὅλον ὡρ(αῖον). 16 cod. πεῖραν. 18 cod. τίς. 27 τὸν] cod. τῶν.

"Τίς ἀσθενεῖ", φησὶν ὁ θεσπέσιος Παῦλος, "καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι"; ὁρᾷς; τοῦ συγγενοῦς ἐν πτώματι κειμένου, καὶ αὐτὸς τῷ βόθρῳ συνεπεκλίνετο καὶ τὸ σύντριμμα τοῦ καταπεσόντος ἐν τῇ ἰδίᾳ ψυχῇ περιέφερεν· οὔπω διαναστῆναι βουλομένῳ τὴν χεῖρα προέτεινεν· οὔπω θεραπείαν ἐπιζητοῦντι ἐκίρνα τὸ φάρμακον· οὔπω διόρθωσιν ἔβλεπε καὶ πρὸς τὸν ἀπεγνωσμένον τῇ γνώμῃ συνήπτετο. ὢ μακαρίας ὡς ἀληθῶς καὶ Παύλου ψυχῆς, ὅτι φησὶν ὁ νοσῶν τὰ τῆς ὑγείας οὐ βούλεται. τοῦτό μοι νόσος, σὺ δέ μοι σκόπει καθ' ἕκαστον τῶν νοσούντων συνασθενοῦντι, ἡλίκη αὐτῷ καὶ ἐπὶ πόσον ἡ νόσος ἐτείνετο. ἀλλ' ὁ μὲν Παῦλος ἀντὶ τῆς ἑτέρων ἀσθενείας ἑαυτὸν μαστίζεσθαι νόσοις δίδωσι, σὺ δὲ καὶ τῆς νόσου ἀπαλλαττόμενον καὶ προῖκα λαβὼν ὑγιαίνοντα τὸν ἀδελφὸν οὐ πάντα συνεισενέγκοις βεβαίαν αὐτῷ κατασκευάσαι τὴν τῆς ὑγείας ἀνάκτησιν; καὶ τί ἂν εὕροιμεν πρὸς τὴν ἐκεῖθεν ἐξέτασιν ἀπολογίαν; "τίς σκανδαλίζεται καὶ οὐκ ἐγὼ πυροῦμαι"; ἔτι ταῖς πάγαις κατεχομένων τῶν ἁλόντων ὁ Παῦλος ἐπυρπολεῖτο, ἠγωνία, κατεφλέγετο τὰ σπλάγχνα, πάντα ἐκίνει τῆς ἐκεῖθεν λύμης ἐξελέσθαι τὸν συσχεθέντα· σὺ δὲ καὶ τῶν σκανδάλων ἀπολυθέντα, μᾶλλον δὲ γνώμῃ διαφυγόντα, καὶ μήτε καμὼν οἷς ἂν ῥυσθείη, μήτ' ἐξελὼν τῆς πάγης πόνοις ἰδίοις, εἰ μὴ προσδραμόντα πατρικοῖς ὑποδέξῃ σπλάγχνοις, εἰ μὴ φιλανθρώποις ὄμμασιν ἐπίδοις, εἰ μὴ μελῶν τὸ τιμιώτατον λογίσαιο, εἰ μὴ πάντα καὶ πράξαις καὶ εἴποις, ὅσα ψυχὴν ἄρτι θορύβων καὶ ταράχων καὶ ζάλης διαφυγοῦσαν δύναται σταθερὰν καὶ γαληνιῶσαν καὶ θυμηδίας ἔμπλεων ποιῆσαι; ἀλλὰ δι' ὧν τὸν ἱκέτην ἀποστερήσεις, ὀκλάζειν ἐπαναγκάζεις καὶ ἄλλην κατ' αὐτοῦ συστρέψεις καταιγίδα καὶ πρὸς τὸ βάραθρον πάλιν ἀποβλέπειν τοῖς ἔργοις προτρέψῃ, πῶς ‖ οὐχὶ σαυτὸν φονέα περιφανῆ τοῦ ἀδελφοῦ διε- p. 748
λέγχεις καὶ ἀντὶ μὲν ποιμένος λύκον, ἀντὶ δὲ πατρὸς προδότην, ἀντὶ δὲ σωτῆρος λυμεῶνα; ἐκσπάσαι τοῦ στόματος τὸν πλησίον

1 Cor. 2, xι, 29. 9 cod. καθέκαστον. 14 ἀνάκτησιν] apogr. ἀγανάκτησιν. 15 Cor. 2, xι, 29. 22 λογίσαιο] cod. λογίσῃ. 23 cod. πράξῃς κ. εἴπῃς. 30 cod. λυμαιῶνα.

ἐτάχθης τοῦ θηρός, σὺ δέ, καὶ φυγόντα τὴν τῶν ὀδόντων ἀκμήν, πάλιν, οἷς ἐπινοεῖς, πρὸς τὸ θηρίον ἐπαναστρέφεις. καὶ πῶς ἄν τις, ὁ τοιοῦτος, εὑρήσει συγγνώμην, μᾶλλον δὲ τίνα δίκην διδοὺς τὴν ἀξίαν ἀποδῷ, οὕτω πρὸς τὸ οἰκεῖον μέλος, πρὸς τὸν ἀδελφόν, πρὸς τὸν τῆς φύσεως κοινωνόν, εἰ βούλει δὲ καὶ τὸν τῆς πίστεως, διατεθείς; οὐ γὰρ ὠμότητος ἔνοχος, οὐκ ἀσπλαγχνίας, οὐ προδοσίας, οὐκ ἐπιβουλῆς, οὐ μισαδελφίας, οὐ μισθωτός, οὐ θείας ὑπερόπτης ἐντολῆς, οὐ κατήγορος ἀδυσώπητος ἑαυτοῦ καὶ πάντα ἄνωθεν περικόπτων ἔλεον; ταῦτα γὰρ πάντα καὶ πλείονα περιέχεται τῇ πράξει, δι' ἧς ζημιούμεθα τὸν ἀδελφόν. ὥσπερ τοῦ διὰ πάσης μεθοδείας κερδῆσαι σπουδάσαντος τὴν φιλανθρωπίαν ἡ γνώμη προβάλλεται τὴν φιλαδελφίαν, τῶν δεσποτικῶν ἐντολῶν τὴν συντήρησιν, συμπάθειαν, *ἀληθινὸν ποιμένα. καὶ τί λέγω τὰ καθ' ἕκαστον; εἰς θεῖον οὗτος ἀνατρέχει βαθμόν, ὅμοιον αὐτῷ παρασκευάζει τῷ θεῷ· ψυχὴν γάρ φησιν ὁ σώσας, ὡς ὁ κτίσας· βούλει δὲ εἴπω καὶ ὃ διὰ τόλμης μὲν μείζονος εἰπεῖν οὐχ εὑρεῖν, εἰς ὕψος δὲ μετὰ τοῦ εὑρεῖν καὶ τυχεῖν ἀναβαίνει ὑπερφυές; στόμα γίνεται ὁ τοιοῦτος θεοῦ· "ὁ γὰρ ἐξάγων ἄξιον ἐξ ἀναξίου στόμα μού ἐστιν".

Ὁρᾷς δι' οἵου ῥᾳδίου κατορθώματος εἰς οἷον ἡ ἀνθρωπίνη φύσις ἀνυψοῦται ἀξίωμα; ἀλλὰ γάρ, εἴ τις ἐραστὴς ἐπάθλων, περισκοπείτω τὰ γέρα, εἴ τις δειλὸς πρὸς τιμωρίαν (πᾶσα δὲ φύσις πρὸς τηλικαύτην, εἰς ἧτταν ἅπασαν, καὶ πρὸ πείρας κατα[δικά]ζεται) εὐλαβείσθω παθεῖν ὧν ἀνύποιστον τὸ πάθος, καὶ μεριζέσθωσαν ἑκάτερος τὸ σωτήριον, ὃ μὲν πόθῳ τοῦ κέρδους, ὃ δὲ φόβῳ τῶν κολάσεων. δι' ἑκατέρας δὲ πάντως ὁδοῦ τὸν προσερχόμενον ἀσμένως καὶ προσηνῶς ἐναγκαλιζώμεθα· θήραμα ἡμῶν, ὃν οὐκ ἐθη-
p. 749 ράσαμεν, ποι||ησώμεθα. ἔσται δὲ τοῦτο πῶς; εἰ μετὰ τὴν καταφυγὴν ὡς θηράσαντες οἷς εὐεργετοῦμεν σεμνυνόμεθα. ἑλοίμην μὲν οὖν καὶ εἰπεῖν καὶ πεῖσαι δι' οὐδέτερον τῶν εἰρημένων τοὺς ἀδελφοὺς

---

1 θηρὸς] cfr. Johan. x, 11—13. 7 μισθωτὸς] Johan. x, 12, 13. 13 post συμπάθειαν lacunam indicavi. 14 cod. καθέκαστον. 18 Jerem. xv, 19. 19 cod. ἐστίν. 23 post κατα locus est vacuus in codice trium vel quattuor litterarum. 27 cod. ἐναγκαλιζόμεθα.

*

οἰκειώσασθαι, ἀλλ' ὅτι φύσεως τῆς αὐτῆς, ὅτι γένους ἑνός, ὅτι χειρὸς πλάσμα τῆς αὐτῆς, ὅτι, καὶ ψυχῆς καὶ σώματος, δι' ὁμοίων συγκεκράμεθα καὶ τὸ ἐν ἐκείνοις καὶ πλάστην ἔχομεν καὶ νόμον καὶ φύσιν ἐν ἑαυτοῖς καθορᾶν ἐπιτρέποντας· ὅ τε γὰρ δεδιὼς τὴν δίκην, καὶ διὰ τοῦτο φιλάνθρωπος, τῇ δειλίᾳ μᾶλλον ἢ τῇ φύσει χαρίζεται, καὶ ὁ πρὸς ἆθλον αἱρούμενος τὸ φιλάνθρωπον ἐν ἀδήλῳ κεῖται, εἰ χωρὶς τοῦ κέρδους τὴν φύσιν ἐγίνωσκεν, ἀλλ' οὖν τῶν ἀρίστων καὶ χωρὶς εὐχῆς εὑρίσκων κατόρθωμα, τοῦ μὴ τόλμης ὑποσχεῖν αἰτίαν. ἀφίημι τῶν ἀτολμήτων ἐφάπτεσθαι· πλὴν ἡμῖν γε προτιμητέον, ἐπεὶ μὴ πρὸς τὰ τηλικαῦτα ὕψη πτερούμεθα, μηδὲ πρὸς τὸν τοῦ Παύλου δρόμον ἀναγόμεθα. διὰ γοῦν τὸ τυχεῖν τῶν ἐπάθλων μόνον, ἢ τὰς τιμωρίας διαδρᾶναι, τὸ συμπαθὲς τοῖς ὁμογενέσι [χρὴ] καὶ φιλόστοργον εἰσενέγκασθαι. μισεῖ τις ἑαυτόν; οὐδεὶς ἄν, εἰ μὴ τὸν νοῦν προδιαφθαρείη, συνομολογήσειε. τὴν αὐτὴν δὲ ὑποτίμησιν ἑαυτῷ προσάψει καὶ ὃς τὸν ὁμόφυλον οὐχ ὁμογενῆ συγκατάθοιτο. καὶ πῶς οὐκ ἂν ἐλεγχθείη τῶν ὡμολογημένων ἔξαρνος ὁ μὴ τὰ τοῦ πλησίον πάθη ἑαυτοῦ τιθεὶς καὶ τὴν ἴσην αὐτῷ κἀκείνῳ, ὥσπερ συγγένειαν, οὕτω δὴ νέμων καὶ συμπάθειαν; τὸ γὰρ εἰς ἐκεῖνον ἀλλότριον, κἂν ἐθέλοι τὴν ὕβριν λανθάνειν εἰς αὐτὸν διαβαίνουσαν, ἕλκει διὰ μέσου τοῦ πάσχοντος· ὧν γὰρ τὸν αὐτὸν τῇ φύσει οὐκ ἠξίωσε, καὶ τὸν αὐτὸν ἀνάξιον ἐναπέφηνε. ἐτόλμησε Παῦλος ὑπὲρ συγγενῶν, καὶ τότε τὴν πίστιν πολεμίων, ἐπὶ χωρισμὸν ἐλθεῖν Χριστοῦ καὶ εὔξασθαι γενέσθαι ἀνάθεμα· σὺ δὲ οὐδ' ἵνα φύγῃς ἀλλοτρίωσιν παθεῖν θεοῦ καὶ ἀνάθεμα, οὐδὲ διὰ || ταῦτα θαρρήσεις ἄνθρωπος ἀνθρώπῳ γενέσθαι καὶ p.750 τὴν φύσιν ἐπιγνῶναι καὶ τὸν αὐτὸν ἔλεον ἡδέως ὁρᾶν διὰ τῆς αὐτῆς καταχεόμενον πλάσεως, ἀτέραμνον δὲ καὶ ἄτεγκτον τοῖς εἰρημένοις πᾶσι διὰ μόνην πώρωσιν τὴν γνώμην ἀντιστήσεις; μὴ σύ γε, ἐὰν ἐμοὶ πείθῃ, μᾶλλον δὲ εἰ μὴ διὰ τῶν προλαβόντων τῆς κακίας παθῶν, καὶ τῆς φύσεως καὶ τῆς πλάσεως καὶ τοῦ ἐλέους ἀνάξιον σεαυτὸν ἀπέφηνας.

---

5 cod. διατοῦτο. 11 τὸν τοῦ Παύλου δρόμον] Tim. 2, ιv, 7 «τὸν δρόμον τετέλεκα». 13 χρὴ inserui. 16 cod. ὁμολογημένων. 22/24 Rom. ιx, 1—5. 23 cod. ἐπῒχωρισμὸν.

Ἀλλὰ τοῦτο μὲν ἐκεῖνος ἀπερρίφθω οἷς καὶ τὸ ἄσβεστον, οἴμοι, πῦρ καὶ ὁ σκώληξ ὁ ἀκοίμητος καὶ τὸ φοβερὸν ἐκεῖνο τῶν κολάσεων διηπείληται· ἡμεῖς δὲ τὸν ἐν οὐρανοῖς πατέρα μιμούμενοι (ὢ στόμα Χριστοῦ, εἰς οἷον ὕψος ἡμᾶς καὶ τότε διὰ βραχείας ἀνάγει κλίμακος! ὢ βροτεία φύσις, οἷός σε στέφανος δόξης, ἂν ἐθελήσῃς μόνον, διαπλέκεται! "γίνεσθε γὰρ οἰκτίρμονες, ὡς καὶ ὁ πατὴρ ὑμῶν" ὁ οὐράνιος), ἀλλ' οὖν ἡμεῖς γεγονότες οἰκτίρμονες, καὶ τὰς δεσποτικὰς ἐντολὰς καὶ παραινέσεις καὶ τὰς φιλανθρώπους ἐκείνας πράξεις καὶ τὰς σωτηρίους παραβολάς, τοῦ Παύλου (τί εἴπω;) τὰς φωνάς, τὸν δρόμον, τὰ ἔργα, τὸν ἀγῶνα, τὰ ἆθλα, τὴν φλεγομένην ψυχήν, τὴν ὑγιαίνουσαν νόσον, τὴν διὰ τοῦ ἀναθέματος, ὃ χωρισμός ἐστι θεοῦ ἔσχατος, ἄληπτόν τε καὶ ἀνέκφραστον πρὸς Χριστὸν συνάφειαν, ἀλλ' οὖν ταῦτά τε καὶ τὴν φύσιν καὶ τὴν πλάσιν καὶ τὴν αὐτὴν χεῖρα ἀεὶ καὶ διὰ παντὸς ταῖς τῆς καρδίας πλαξὶν ἐγκεχαραγμένα περιφέροντες, εἰ βούλει δὲ καὶ τὸ ὁμοιοπαθές, τὸ γινώσκειν ἀσφάλειαν ἰδίαν εἶναι τῶν ὁμογενῶν τὴν οἰκείωσιν, ὥσπερ πτωμάτων αὐτόθεν τὸ μέγιστον, τὸ ἀλλοτριοῦσθαι τούτων καὶ μὴ συγκατασκευάζειν αὐτοῖς δυνάμει πάσῃ τὴν διόρθωσιν· ταῦτα οὖν καὶ τὰ παραπλήσια μελέτην καὶ βίου καὶ σωτηρίας, ὢ ἱερὰ κεφαλή, ποιούμενοι, τοὺς ἀδελφοὺς προστρέχοντας ἄσμενοι καὶ μετὰ πάσης χρηστότητος καὶ φιλοστοργίας ὑποδεχώμεθα. ἂν τούτοις στοιχειώσωμεν ἑαυτοὺς καὶ ἀξίους παρασκευάσωμεν τοῦ τηλικούτου χαρίσματος — οὐδὲ γὰρ χωρὶς χαρίσματος φαίην ἂν ἔγωγε τὴν τοιαύτην παρασκευὴν καὶ
p. 751 τελείωσιν, || ὥσπερ δὴ καὶ παρεσκευασμένους ὑμᾶς πεποίθαμεν—, οὐ μόνον τοὺς ὁλοψύχως πρὸς τὴν τοῦ θεοῦ καταφεύγοντας ἐκκλησίαν ὡς ἀληθεῖς ποιμένες τῆς τοῦ Χριστοῦ καὶ μάνδρας καὶ ἀγέλης ἀδιασπάστους τηρήσομεν, "ἐπὶ ὕδατος" ἐκτρέφοντες "ἀναπαύσεως"

---

1 ἄσβεστον πῦρ] Matth. III, 12. Marc. IX, 43, 45. Luc. III, 17. 2 cod. πῦρ[β] οἴμοι[α] καὶ ὁ σκώλυξ || σκώληξ ὁ ἀκοίμητος] Esai. LXVI, 24. Marc. IX, 44, 46, 48. 4 cod. ὦ hic et infra. 6 Luc. VI, 36; cfr. Matth. V, 48. 10 δρόμον] Tim. 2, IV, 7 || τὰ ἔργα] Cor. 1, IX, 1 || τὸν ἀγῶνα] Tim. 2, IV, 7. 11 τὰ ἆθλα] Cor. 2, XI, 24–28 || φλεγ. ψυχὴν - - νόσον] Cor. 2, XI, 29, 30. 12 ἀναθέματος] Rom. IX, 5. 13 τε] cod. σε. 14 cod. διαπαντὸς. 16 cod. ὅμοιοπαθὲς. 19 cod. πᾶσι. 22 cod. ὑποδεχόμεθα. 28 Psalm. XXII, 2.

καὶ "ἐπὶ τόπον χλόης" τὴν ἀρετὴν νεάζοντας ἀεὶ καὶ χλοηφοροῦντας κατασκηνοῦντες, ἀλλὰ καὶ τοὺς δισταγμῷ ταρασσομένους καὶ μὴν καὶ τοὺς [εἰς] ὄρη καὶ ἐρημίας ἀποσκιρτήσαντας καὶ διαπλανωμένους πρὸς τὴν ὁδὸν ἐκκαλεσάμενοι τῆς ἀληθείας, εἰς τὸν αὐτὸν τῆς σωτηρίας λειμῶνα συγκατασκευάσομεν, φέροντες τὰ βάρη, παρορῶντες τὴν ὀλιγωρίαν, τοὺς γογγυσμοὺς δεξιώσει διαλύοντες, τὴν ὀλιγοψυχίαν ἀνοχῇ μεγαλόφρονι θεραπεύοντες· τοῦτο γὰρ τῆς ἀληθοῦς ἀγάπης, ἣν ὁ Χριστὸς ἡμῖν ἐχαρίσατο, μαρτύριον ἀψευδές. ἡ γὰρ ἀγάπη, κατὰ τὸν αὐτοῦ γνήσιον καὶ ὑποφήτην καὶ θεραπεύοντα καὶ μαθητήν, μακροθυμία "χρηστεύεται· οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν· πάντα στέγει, πάντα ἐλπίζει, πάντα ὑπομένει· ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει". διὰ ταύτης γὰρ τοῖς πᾶσι τὰ πάντα κατὰ τὸν αὐτὸν τῆς οἰκουμένης γινόμενοι κήρυκα — ἐγένετο γὰρ τοῖς πᾶσι τὰ πάντα ὁ μονότροπος ἐκεῖνος καὶ θεοειδὴς ἄνθρωπος, ἵνα τοὺς πάντας κερδήσῃ—καὶ ἡμεῖς τοῖς ἴχνεσι κατακολουθεῖν δυνηθείημεν· οὗ ταῖς πρὸς τὸν κοινὸν καὶ σωτῆρα καὶ διδάσκαλον καὶ πρῶτον ἀρχιερέα ἀκαταίσχυντα πρεσβείαις καὶ ποιμαίνειν καὶ ποιμαίνεσθαι κατὰ μίμησιν ἀξιωθείημεν.

---

3 εἰς addidi. 5 cod. συγκατασκευάσωμεν || φέροντες τὰ βάρη] Gal. vi, 2 «ἀλλήλων τὰ βάρη βαστάζετε». 8 ἀγάπης] Johan. xiii, 34, 35. 10/13 Cor. 1 xiii, 4-8. 13/16 Cor. 1, ix, 22. 18 apogr. ἀκαταίσχυντοι.

II.

ΕΤΕΡΑΙ ΕΠΙΣΤΟΛΑΙ

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΩΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΦΩΤΙΟΥ [1].

1.

(Ἀνωνύμῳ).

Ἀνεγνώσθη σου ὁ λόγος, ὅν μοι ἀπέστειλας, καὶ θαυμασθεὶς τῆς δεινότητος οὐκ ἔλαθες. κλέψας τὸ κολακευτικὸν τῷ δοκεῖν συμβουλῆς προσχήματι συγγεγραφέναι, ἐπειδὴ γὰρ δόξαν κολακείας ἔχει τὸ ἐπαινεῖν τοὺς μεγάλα δυναμένους, ἄλλην ὑπόθεσιν πεποίηκας καὶ ἄλλην εἰργάσω, ὡς δεῖξαι βουλόμενος τὴν αἰτίαν, δι' ἣν ἐπιτήδειός ἐστιν ἡγεῖσθαι· οὕτω τὸ ἐγκώμιον ἐπλήρωσας. τὴν γνώμην οὖν οὐκ ἀποδεξάμενος, τὴν τέχνην ἐθαύμασα.

2.

(Ἀνωνύμῳ).

Ὅταν ὁ θεὸς διανάγηται, ἢ ἐπαγγέλληται, καὶ λογισμοὶ καὶ συλλογισμοὶ καὶ πιθανότητες ῥημάτων ἐκποδὼν οἰχέσθωσαν· ταῦτα γὰρ πάντα οὐδὲν παραβαλλόμενα τῷ τοῦ λέγοντος ἀξιώματι.

---

[1] E codice CLXIII, s. XVII, monasterii S. Dionysii in monte Atho, fol. 462^{b}—471 [S. Lambros, Catalogue of the greek manuscripts on mount Athos. Vol. I, p. 351]. 2 τῷ] cod. τὸ.

3.

('Ανωνύμῳ).

Τὴν εἰς θεὸν πίστιν οὐκ οἶδ' ὅπως ἐξευτελίζουσιν οἱ ἄπιστοι, ἧς εὐμαρὴς μὲν ἡ γνῶσις, ἀσφαλὴς δὲ ἡ κτῆσις, ἀήττητον δὲ τὸ πέρας.

4.

('Ανωνύμῳ).

Ὁ μὲν εἰς θεὸν πεποιθὼς ἐπὶ μεγίστης καὶ λαμπρᾶς καὶ ἀδιαπτώτου, ὁ δ' ἐπ' ἄνθρωπον ἐπὶ λεπτῆς καὶ ἀσθενοῦς καὶ σφαλερᾶς καὶ ὡς τὰ πολλὰ διαπιπτούσης ἐλπίδος ὀχεῖται. διὸ χρὴ τοὺς ἐχέφρονας τῆς μὲν προτέρας ὡς ἱερᾶς ἀγκύρας ἀντέχεσθαι, τῆς δὲ δευτέρας ἀπέχεσθαι.

5.

('Ανωνύμῳ).

Εἰ ἡ εἰς τὴν ἄμαχον τοῦ τὰ πάντα οἰακίζοντος δεξιὰν ἐλπὶς οὐ μόνον τὴν τῶν μελλόντων ὠδίνει ἀπόλαυσιν, ἀλλὰ καὶ τοὺς παρόντας ἐπικουφίζει πόνους (ῥᾷον γάρ τις φέρει τοὺς ἄθλους, τῇ τῶν στεφάνων ἐλπίδι πτερούμενος), εἰ τοίνυν κἀνταῦθα ἡμῖν συναγωνίζεται καὶ συμμαχεῖ, κἀκεῖσε στεφάνοις ἡμᾶς κοσμεῖ καὶ φαιδρύνει, καὶ ἀποβλέπτους παρά τε ἀγγέλοις καὶ ἀνθρώποις καθίστησι, ταύτην περιπτυξώμεθα καὶ σύνοικον ἔχωμεν καὶ ὁμοτράπεζον.

6.

('Ανωνύμῳ).

Νόμος φιλοσοφίας ἀσφαλοῦς, ὅρος ἁγνείας ἀκριβοῦς, τῷ θεοφόρῳ διώρισται Παύλῳ, νεκρῶσαι πάντα τὰ μέλη ἐπιτάττοντι ἐπὶ τῆς γῆς. εἰ τοίνυν ἕπεσθαι βούλει τοῖς δόγμασιν αὐτοῦ (ἕψῃ δὲ πάντως), εἰ τὸ ἀσκεῖν θέλεις, χαλίνωσον τῆς γλώσσης τὸ τραχύ· τὸ μεῖζον γὰρ ἁπάντων τῶν γηίνων μελῶν ἡ γλῶσσα, ὡς δυσκάθεκτός ἐστιν.

7.

('Ανωνύμῳ).

Εἰ νηστεύεις ἀπὸ βρωμάτων, τί κρεοφαγεῖς λοιδορίαις; καλὸν

8/10 Psalm. cxvi, 8, 9. cxlv, 3. 26 Colos. iii, 5.

γὰρ ἐκείνων ἐμφορεῖσθαι, ἢ τούτοις βεβηλοῦσθαι. εἰ δὲ τῶν μὲν ἀπέχῃ, τοῖς δὲ μολύνῃ, ἔοικάς τινι μικρὰ προσευχομένῳ καὶ πλεῖστα βλασφημοῦντι.

8.

(Ἀνωνύμῳ).

Εἰ καὶ μέγιστα καὶ συγγνώμης μείζονα ἐπλημμελήσατε, ἀλλ' ἅ γε συγγνώμης, ἀνταξιώσει ὁ κριτής, εἴ γε εἰλικρινεῖ μετανοίᾳ θεραπευθείη.

9 (ψλγ').

Μαρτινιανῷ.

Τὸν μὲν τῶν σωμάτων ἔρωτα, ἅτε δριμὺν μὲν ὄντα, ταχέως δὲ σβεννύμενον, διὰ τοῦτο οἱ ζωγράφοι σὺν λαμπάσι καὶ πτέρυξι γράφουσι, ὅτι ποτὲ μὲν ὑπεκκαίει τὰ πάθη καπνίζων, ποτὲ δὲ διὰ κόρον ἀφίσταται· τὸν δὲ τῶν χρημάτων οὐδεὶς οὔτε γράψαι οὔτε πλάσαι ἐτόλμησε, τάχα μὲν ἐπειδὴ οὔτε ἔρως ἐστίν, ἀλλὰ μανία ἀνήκεστος, τάχα δὲ ἐπειδὴ οὐδὲ πλασθῆναι οὔτε γραφῆναι αὐτὸν οἷόν τε· οὔτε γὰρ πεντήκοντα μόνον ἔχει κεφαλάς, κατὰ τὴν μυθευομένην Ὕδραν, δι' ὧν τῇ ἀπληρώτῳ γαστρὶ τὴν τροφὴν παραπέμπει, οὔτε κατὰ τὸ ἀγόρταστον τέρας διάκειται, οὐδὲ κατὰ τὸν Βριάρεων ἑκατὸν χερσὶ μόναις ὥπλισται, ἀλλ' οὔτε πτερὰ ἔχει· κόρον γὰρ οὐκ οἶδε, πλησμονὴν οὐκ ἐπίσταται. πῶς οὖν τις τοιοῦτον τέρας ἢ πλάσαι ἢ γράψαι ἠδυνήθη, ᾧ καὶ τὸ τῆς Σκύλλης παραβαλλόμενον ἐπιστεύθη ἄν, καίτοι ἄπιστον ὄν; ἀλλ' ἐπειδὴ ὁ λόγος παντὸς μὲν χρώματος ἐναργέστερός ἐστι, παντὸς δὲ κηροῦ εὐπλαστότερος, ὡς ἂν οἷός τε ὦ, ὑπογράψαι τοῦτον πειράσομαι, τῆς μὲν ἀκριβείας ἐφικέσθαι ἀδυνατῶν, τὴν δὲ θηριόμορφον αὐτοῦ καὶ ἄτρεπτον τοῖς ἑαλωκόσι στηλιτεύων μανίαν. ἐμοὶ γὰρ δοκεῖ οὐ παιδὶ ἐοικέναι (οὐ γὰρ ἔρως ἐστίν, ἀλλὰ μανία σαφής), ἀλλὰ γυναικὶ (καὶ τοῦτο γὰρ τῆς τε ἀνοίας αὐτῆς καὶ τῆς μοχθηρίας ἐστὶ τεκμήριον) θηριομόρφῳ τινὶ καὶ πῦρ πνεούσῃ, μυρίας μὲν ἔχεις ἀντὶ τριχῶν ἐπὶ τῆς κεφαλῆς ἐχούσῃ (διὰ παντὸς συριττούσας

2 apogr. ἐμολύνη ἔ. τινί. 10 cod. Μαρτινιανῶ ψλγ'. 11/13 Photius in epist. Νικηφόρῳ [ed. Valettae p. 551] «Τὸν μὲν τοῦ σώματος ἔρωτα ἐπτερωμένον οἱ σωματικοὶ γράφουσι». 20 cod. βριάρεα.



καὶ θανατηφόρον ἰὸν ἐρευγομένας, μυρίας δὲ χεῖρας ὄνυξι κομῶσας, δι' ὧν τοὺς μὲν σπαράττει, τοὺς δὲ κατατοξεύει, παρ' ὧν δὲ ἁρπάζει χρήματα), μυρία δὲ στόματα· οὔτε γὰρ ἀπειλεῖ μόνον, οὔτε συκοφαντεῖ, ἀλλὰ καὶ κολακεύει καὶ δουλοπρεπῶς διαλέγεται καὶ ἐπιορκεῖ καὶ μυρίας ἐπινοεῖ προφάσεις, αἰσχρῶν κερδῶν ἕνεκεν· καὶ ὀφθαλμοὺς ἔχει, οὐ κατὰ φύσιν ὁρῶντας, οὐδὲ αἰδουμένους τινάς, οὐ φίλον, οὐκ ἀδελφόν, οὐ συγγενῆ, οὐκ εὐεργέτην, ἀλλὰ τραχὺ καὶ δριμὺ καὶ ὠμὸν καὶ ἀπάνθρωπον καὶ πυρῶδες βλέποντας (οὐ γὰρ τὴν τῶν πραγμάτων ὁρᾷ φύσιν, οὐδὲ συνίησιν, ὅτι πολλάκις μυρία κινήσασα εἰς τὰς τῶν ἐχθρῶν τὰ χρήματα παρέπεμψεν χεῖρας· διὸ μυρίας προετρίψατο τῷ ἁλόντι τὰς ἁμαρτίας), ἀκοὰς δὲ τοσοῦτον πεφραγμένας, ὡς μήτε ἱκεσιῶν, μήτε στεναγμῶν, μήτε ὀλοφυρμῶν, μήτε κακηγοριῶν ἐπακούειν· τοσοῦτον δὲ ἀπέχει τοῦ πτερὰ ἔχειν, ἃ τὸν κόρον δηλοῖ, ὅτι οὐδὲ πόδας αὐτῇ σωφρονῶν ἄν τις ἀπονέμοι· οὐδὲ γὰρ οἶδε βαδίζειν, οὐδὲ μετακινεῖσθαι ἀπὸ τοῦ ἁλόντος, ἀλλὰ κατὰ πάντων τὰς χεῖρας πέμπουσα, σιδήρου παντὸς καὶ μολίβδου βαρυτέρα οὖσα, ἐγκάθηται, πάντα μὲν δεχομένη καὶ πάντας ληιζομένη, οὐδέποτε δὲ πληρουμένη, ἀλλὰ τὸ πλῆθος τῶν λαμβανομένων ὕλην ὑπεκκαύματος ἔχουσα καὶ τὴν τελευτὴν τῶν ληφθέντων ἀρχὴν τῶν ληφθησομένων ποιουμένη. τίς οὖν τοιαύτῃ μανίᾳ δριμυτάτῃ καὶ ἀκορέστῳ καὶ μυρίαις ἁμαρτίαις καὶ κακηγορίαις, ἀδοξίαις τε καὶ ἀκολασίαις, προστριβομένῃ ἁλοίη ἄν; τίς δ' ἂν ἕλοιτο τὸ ἐνταῦθα μὲν ζῆν οὕτως, ἀθλίως μαστιζόμενος νύκτωρ καὶ μεθ' ἡμέραν καὶ ἀνάπαυσιν οὐκ εἰδὼς οὐδὲ ὕπνον, ἐκεῖσε δὲ ἀρχὴν τῶν τιμωριῶν ληψόμενος; τί λέγω ἀρχήν; ἐντεῦθεν μὲν οὖν κολάζει καὶ τιμωρεῖται τοὺς ἁλόντας, παντὸς τυράννου πικρότερον ἐναλλομένη καὶ τῶν καιρίων ἁπτομένη καὶ μηδὲ μικρὸν ἀναπνεῦσαι συγχωροῦσα, ἀλλὰ τῶν εἰς τὰ μέταλλα τὴν χαλεπωτάτην ἐκείνην τινόντων κόλασιν πικροτέραν ἐπάγουσαν τὴν δίκην· τοῖς μὲν γὰρ ἔξεστι μετὰ τὸ ἔργον ὕπνῳ χρήσασθαι καὶ ἀναπαύσει, τοῖς δὲ καὶ τὸν τοῦ ὕπνου προσχωννύουσα λιμένα καὶ νύκτωρ ἐπιτάττει τὰ δεινὰ καὶ ὠμὰ

1 cod. χέρας. 15 cod. ἀπονέμει. 27 cod. πικρώτερον.



καὶ ἀπάνθρωπα ἐπιτάγματα ἐκεῖνα· τοὺς μὲν γὰρ ἐπὶ ληστείας ἐξάγει, τοὺς δὲ ἐπ' ἀνδροφονίας. καὶ οὐδὲ τὴν ὁσίαν αὐτὴν αἰδεῖται, ἣν καὶ Βάρβαροι καὶ Δαίμονες τιμῆς ἀξιοῦσιν· ἀλλὰ καὶ κατὰ νεκρῶν σωμάτων τὰς μιαρὰς τῶν ἁλόντων ὁπλίζει δεξιάς, καινὸν καὶ παράνομον ληστείας ἐπινοοῦσα τρόπον. πάντα οὖν αὐτῆς τὰ μοχθηρὰ ἐννοήσαντες, ὅτι θηριόμορφός ἐστι καὶ ἀτερπὴς καὶ πῦρ πνέουσα, ἀκόρεστός τε καὶ τυφλὴ καὶ ἀνήκοος, μισάνθρωπός τε καὶ μυσαρὰ καὶ θεομισής, ἄσπονδός τε καὶ ἀμείλικτος καὶ ἀνήμερος (οὔτε γὰρ κολακευομένη, οὔτε θεραπευομένη ἐνδίδωσιν, ἀλλὰ τότε μᾶλλον ἀγριοῦται, ὅτε μάλιστα θεραπεύεται), μάλιστα μὲν πάντα κινῶμεν, ὥστε μὴ ἁλῶναι· ῥᾷον γὰρ μὴ ἁλῶναι, ἢ ἁλόντας διαφυγεῖν. εἰ δὲ καὶ ἁλῶμεν συντείνοντες ἑαυτούς, καὶ τὴν θείαν καλέσαντες συμμαχίαν (ἄνευ γὰρ ταύτης οὐχ οἷόν τε τοιαύτης αἰχμαλωσίας ἐλευθερωθῆναι· κινδυνεύει γὰρ εἶναι τοῖς πολλοῖς αἰχμαλωσία ἀνακλήσεως ἄμοιρος), τοῦ μὲν ἐθέλειν κερδαίνειν παυσώμεθα, τὰ δὲ συναχθέντα, ἢ ἀθρόον ἢ καὶ κατὰ βραχύ, διανείμωμεν τοῖς δεομένοις· αὕτη γὰρ ἔστι μόνη τῆς τοιαύτης αἰχμαλωσίας ἡ ἀνάκλησις καὶ ἀπαλλαγή.

10 (ψνζ').

Εὐτονίῳ διακόνῳ.

Τῶν πλεονεκτῶν καὶ ἀδίκων ἀνδρῶν οἱ μὲν εἰδότες ὅτι ἁμαρτάνουσι φορητοί, οἱ δὲ μηδ' ὅτι ἁμαρτάνουσιν εἰδότες ἀνήκεστα νοσοῦσι· τὸ γὰρ μὴ αἰσθέσθαι τῆς ἀρρωστίας, ἐν ᾗ εἰσιν, ἐπίτασις ἀναισθησίας ἐστὶ καὶ εἰς ἀναλγησίαν παντελῆ καὶ νεκρότητα τελευτᾷ. τούτοις τοίνυν χρὴ ἐλεεῖν μάλιστα· τὸ γὰρ κακῶς ποιεῖν τοῦ κακῶς πάσχειν ἐλεεινότερον· τοῖς μὲν γὰρ περὶ τῶν ἐσχάτων ὁ κίνδυνος σαλεύει, τοῖς δὲ μέχρι χρημάτων ἐστὶν ἡ ζημία· ἄλλως τε καὶ διττῆς οὐκ αἴσθονται νεκρώσεως, ἀτελοῦς δὲ καὶ παιδικῆς διανοίας ἐκφέρουσι δεῖγμα, ἐπεὶ καὶ τὰ κομιδῇ νήπια τῶν μὲν ὄντως φανερῶν οὐδένα ποιεῖται λόγον, ἀλλὰ καὶ πυρὶ πολλάκις ἐπαφίησι τὰς χεῖρας, πρόσωπα δὲ διάκενα καὶ μορμο-

16/17 cod. διανείμομεν. 19 ψνζ' post διακόνῳ in codice. 23 cod. εἰσίν. 27 cod. αἰσχάτων. 29 cod. κομιδή. 31 cod. ἐπ' ἀφίησι τὰς χεῖρας. πρόσωπει διὰ δὲ διάκενα.

λύκεια θεώμενα δεδίττεται καὶ τρέμει. τούτοις κινδυνεύουσιν ἐοικέναι καὶ οἱ τῆς πλεονεξίας ἐρασταί, πενίαν μὲν δεδιότες, ἥτις οὐκ ἔστι φοβερά, ἀλλὰ καὶ ἀσφαλείας ἁπάσης καὶ μετριοφροσύνης ὑπόθεσις, πλοῦτον δὲ ἄδικον περὶ πολλοῦ ποιούμενοι, ὅστις πυρός ἐστι φοβερώτερος· τεφροῖ γὰρ τῶν ἐχόντων καὶ τὰ φρονήματα καὶ τὰς ἐλπίδας.

11 (ͳξϛ′).

Μάρωνι.

Ἕκαστον μὲν σχεδὸν τῶν ἄλλων παθῶν καὶ ἀκμὴν ἔχει καὶ παρακμὴν οἶδε καὶ κόρον ἐπίσταται καὶ εἰς τελευτὴν ἐπάγεται· ὁ δὲ δεινὸς τῆς φιλοχρηματίας ἔρως, μήτε ἔμφυτος ὤν, ἀλλ' ἔξωθέν ποθεν ἐπικωμάσας, παρακμὴν οὐκ οἶδε κόρον ὑβρίζειν, εὐφροσύνην οὐκ ἐπίσταται, τελευτῆς οὐκ ἀνέχεται. ἀεὶ δ' ἀκμάζων, μᾶλλον δὲ τὴν ἀκμὴν ἐπιτείνων, νεανικώτερος ἑαυτοῦ καὶ τυραννικώτερος εἶναι βιάζεται· οὐ γὰρ πρὸς ἄλλα πάθη τὴν ἅμιλλαν ποιεῖται μόνον, ἀλλὰ καὶ πρὸς ἑαυτόν, καὶ ἑαυτὸν νικῆσαι φιλονεικῶν· θᾶττον γὰρ ἄν τις τὰ ἀνέφικτα καταλήψεται, ἢ ἐκεῖνος κόρον λήψεται· τὴν γὰρ προσθήκην μείωσιν καὶ ἐλάττωσιν εἶναι ἡγούμενος, πλέον ἀνακαίει τὸ πῦρ, ὅπερ καὶ τῆς σῆς φασί τινες γεγεῦσθαι ψυχῆς. σβέσον τοίνυν ἢ τάχος τοῦτο· εἰ δὲ μή, κἀνταῦθα [μὲν] ἀβίωτον βιώσεις βίον, κἀκεῖσε δὲ πικρὰς ὑφέξεις εὐθύνας.

12.

(Ἀνωνύμῳ).

Ἐπειδὴ ἡ μὲν κακία διὰ τῶν παραυτίκα δοκούντων εἶναι τερπνῶν πορεύεται καὶ τὴν ἡδονὴν ἔχει συμπράττουσαν, ἡ δὲ ἀρετὴ πόνους προτείνεται καὶ ἀγῶνας, διὰ τοῦτο ἐκείνη μὲν πολλούς, αὕτη δὲ ὀλίγους ἐπεσπάσατο εἰς τὸν αὐτῆς ἔρωτα· δέον γὰρ συνορῶντας ὅτι ἡ μὲν τῆς κακίας ἡδονὴ ῥᾳδίως σβέννυται, ἡ δὲ

---

1 τούτοις] cod. τοῦ τοῖς. 7 ͳξϛ′ post Μάρωνι in codice. 10 cod. ἐπάγεται ἐπείγεται. 21 μὲν inserui || cod. βιώσης. 25 cod. παρ' αὐτίκα. 27 πόνους προτείνεται] cfr. Photii epist. ρδ′, ed. Valettae p. 427 «ἀρετὴ γὰρ ὡς ἀληθῶς, καὶ ἀρετῆς τῆς πρώτης μάλιστα ἄνθος, τὸ μετὰ κινδύνων καὶ παρευδοκιμουμένων ὑπὸ τῆς κακίας ἀσπάζεσθαι τὴν ἀρετήν».

τῆς ἀρετῆς εὐφροσύνη ἀοίδιμός ἐστι καὶ ἀθάνατος, καὶ ὅτι ἣ μὲν ἀδοξίαν καὶ αἰσχύνην, ἣ δὲ ἐπαίνους καὶ δόξαν τίκτει· καὶ ὅτι ἣ μὲν πρὸς τιμωρίαν, ἣ δὲ πρὸς τιμὴν τελευτᾷ, καὶ ἣ μὲν τὸν Διάβολον ἔχει συνήγορον, ἣ δὲ τὸν τῶν καλλίστων νομοθέτην θεόν, καὶ ἣ μὲν ἀνατρέπει, ἣ δὲ συγκροτεῖ τὸν ἡμέτερον βίον· καὶ ὅτι ἣ μὲν καὶ παρὰ τῶν πραττόντων πολλάκις διασύρεται, ἣ δὲ καὶ παρὰ τῶν μὴ μετιόντων θαυμάζεται καὶ τῇ μὲν [τὸ] πῦρ, τῇ δὲ ἡ βασιλεία ἡὐτρέπισται. δέον τοίνυν, ταῦτα πάντα ἐννοοῦντας, τὴν μὲν ἀποστραφῆναι, ὡς θηριόμορφον καὶ ὀφιώδη, τὴν δὲ ἀσπάσασθαι, ὡς θείαν καὶ ὑπερκόσμιον· *τοὐναντίον ποιοῦσι, τὴν πόρνην ἀντὶ τῆς σώφρονος αἱρούμενοι γυναικός.

13.

('Ανωνύμῳ).

Εἰ κρίσιν μὴ προσδοκῶντες δρᾶτε ἃ δρᾶτε, ἀλλὰ καὶ ταῦτ' εἰδέναι ὀφείλετε, ὅτι ἡ μὲν κακία καὶ χωρὶς ἑτέρας κολάσεως κόλασίς ἐστιν, ἡ δὲ ἀρετὴ καὶ δίχα στεφάνων στέφανος. μάλιστα μὲν γὰρ καὶ ἐκ τῶν κἀνταῦθα κολασθέντων ὁ περὶ τῆς μελλούσης κρίσεως λόγος ἀξιόπιστός ἐστι καὶ ἀληθὴς καὶ παρὰ πάντων ὁμολογούμενος· εἰ δὲ εἰς τοσαύτην ἡμᾶς ἡ κακία φρενοβλάβειαν ἐξεβάκχευσεν, ὡς τοῦτον ἐκ τῆς ἡμετέρας γνώμης ἀνελεῖν, ἀλλ' οὖν ἵνα μὴ παρῷ τὸ τοὺς πολλοὺς κἀνταῦθα δεδωκέναι δίκην, μὴ μικρὰν εἶναι νομίσητε κόλασιν τὸ ἐνταῦθα παρὰ πάντων κωμῳδεῖσθαι καὶ μισεῖσθαι, μηδὲ μικρὸν στέφανον τὸ εὐσχημόνως καὶ σεμνῶς καὶ μετ' ἐγκωμίων τὸν ἐνταῦθα διανύσαι βίον.

14.

('Ανωνύμῳ).

Ἡ ἀρετὴ χρῆμά ἐστι καὶ ἀναγκαῖον καὶ συμφέρον καὶ καλὸν καὶ πρέπον καὶ λυσιτελὲς καὶ χρήσιμον. ἀναγκαῖον μέν, ὅτι τοῦ πολιτεύεσθαι ὀρθῶς οὐδὲν ἀναγκαιότερον, συμφέρον δέ, ὅτι πρὸς μακαριότητα ἄγει· καλὸν δέ, ὅτι σεμνύνει τοὺς ἔχοντας· πρέπον δέ, ὅτι κοσμεῖ τοὺς κεκτημένους· λυσιτελὲς δέ, ὅτι

1 cod. ἐστὶ. 7/8 πῦρ - βασιλεία] Matth. xiii, 41-43. xxv, 33-46. 10 ante τοὐναντίον lacunam indicavi. 15 cod. ὀφείλεται. 29 cod. ἀναγκαιώτερον.

λύει, τὸ τέλος, τοὺς πόνους αὐτῆς· χρήσιμον δ', ὅτι οὐδὲν αὐτῆς χρησιμώτερον. τίς τοιγαροῦν, μὴ λίαν ἐξεστηκώς, οὐ λίαν αὐτῆς ἀνθέξεται;

15.

(Ἀνωνύμῳ).

Εἰ καὶ θαυμαστὸν καὶ παράδοξον εἶναί σοι δοκεῖ τὸ ῥηθησόμενον, ἀλλ' ὅμως ἀληθὲς ὂν λελέξεται, ὅτι ὁ μέγα πταίσας, λαθὼν δὲ καὶ μηδένα σκανδαλίσας, τοῦ καταδεέστερα μὲν πεπλημμεληκότος, μετὰ παρρησίας δὲ καὶ τοὺς πολλοὺς ὑποσκελίσαντος, ἐλάττονα δώσει δίκην. εἰ δ' ἀπιστεῖς καὶ ὑπερβολὴν καταγινώσκεις τοῦ λόγου, τὴν ψῆφόν σοι ταύτην οἴσω ἐκ τοῦ οὐρανοῦ καὶ τὸν νόμον τοῦτον ἐκεῖθεν ἀναγνώσομαι· καὶ γὰρ τὸν πανάριστον Μωσέα, τὸν πᾶσαν ἐπελθόντα ἀρετήν, οὐδὲν ἄλλο ἐκώλυσε μετὰ τὸ πέλαγος τοῦ λιμένος μὴ τυχεῖν, ἢ τὸ σκανδαλίσαι τοὺς συνόντας αὐτῷ ἐπὶ τοῦ ὕδατος· εἰ γὰρ πρώην τινὰ παρηκολούθησε, καὶ γὰρ ἀντεῖπε τῷ θεῷ καὶ ἅπαξ καὶ δίς, πεμπόμενος εἰς Αἴγυπτον, καὶ μετὰ ταῦτα εἶπεν "ἑξακόσιαι χιλιάδες εἰσὶ πεζῶν, καὶ σὺ εἶπας κρέα δώσω αὐτοῖς καὶ φάγονται μῆνα ἡμερῶν· μὴ πρόβατα καὶ βόες σφαγήσονται, ἢ πᾶν τὸ ὄψον τῆς θαλάσσης συναχθήσεται καὶ ἀρκέσει αὐτοῖς"; καὶ μετὰ ταῦτα κατωλιγώρησε καὶ τοῦ δήμου τὴν προστασίαν παρῃτήσατο, ἀλλ' οὐδέτερον αὐτὸν ἐκώλυσεν εἰσελθεῖν εἰς τὴν Γῆν τῆς Ἐπαγγελίας, ἧς ἕνεκεν τῶν ἄλλων ἁπάντων ἦν καὶ ἡγεμὼν καὶ δημαγωγός, ἢ τὸ ἐπὶ τοῦ ὕδατος συμβάν. διὰ τοῦτο καὶ ὁ ἀκήρατος νοῦς, τῆς ἁμαρτίας τὴν φύσιν ἐκπομπεύων καὶ παραδηλῶν, ὅθεν γέγονεν ἀσύγγνωστος, ἔφη "ὅτι οὐχ ἡγιάσατέ με ἐνώπιον τῶν υἱῶν Ἰσραήλ. διὰ τοῦτο οὐ μὴ εἰσαγάγητε τὴν συναγωγὴν ταύτην [εἰς τὴν γῆν], ἣν δέδωκα αὐτοῖς". τῇ μὲν γὰρ φύσει ἔλαττον ἦν ἐκείνων τοῦτο τὸ πταῖσμα, τὸ δὲ μετὰ τῆς ἑτέρων κραθῆναι βλάβης οὐ μόνον ἐκείνων, ἀλλὰ καὶ συγγνώμης μεῖζον ἐγένετο· τὰ μὲν γὰρ κατ' ἰδίαν καὶ λανθανόντως, τὸ δὲ ἐπὶ τοῦ δήμου παντὸς ἡμαρτάνετο.

---

7 ὂν] cod. ὢν. 9 cod. πεπλημμεληκότας (ος) - - ὑποσκελίσαντας (ος). 16 cod. ἀντ' εἶπε. 17/20 Num. xi, 21, 22. 20 cod. κατωλιγωρισε. 26 Num. xx, 12. 27 εἰς τὴν γῆν om. codex.

16.

('Ανωνύμῳ).

Μάλιστα μὲν ἃ δεῖ μὴ ποιεῖν, μηδ' ὑπονοοῦ ποιῶν· εἰ δ' οὕτω σοι διακειμένῳ καὶ φεύγοντι μὴ μόνον τὸ κατ' ἀλήθειαν αἰσχρόν, ἀλλὰ καὶ τὸ ἐκ τῆς δόξης ἄτοπον ἐπιλυττῶσί τινες καὶ τὸν φθόνον ἑαυτῶν κακηγορίαις θεραπεύουσι, τοῦτό σε μὴ λυπείτω· εἰώθασι γὰρ οἱ πολλοί, οἷς οὔτε λόγος αἰσχρὸς ἄρρητος, οὔτε ἔργον ἀπρεπὲς ἄπρακτον, διὰ τούτων τὰ καθ' ἑαυτοὺς περιστέλλειν.

17.

('Ανωνύμῳ).

Ὥσπερ οἱ ἀπόστολοι ἀνδρείᾳ καὶ μεγαλοψυχίᾳ φραξάμενοι καὶ τῇ θείᾳ συμμαχίᾳ θωρακισθέντες, τοσούτοις πολέμοις συρραγέντες καὶ καινὰς καὶ παραδόξους τραγῳδίας ὑπομείναντες, ἀρκοῦσαν εἶχον παράκλησιν τὴν τῶν ἀγώνων ὑπόθεσιν (οὐ γὰρ ὑπὲρ οἰκείας κακίας, ἀλλ' ὑπὲρ τῆς δεσποτικῆς δόξης ἔπαθον ἅπερ ἔπαθον· διὸ οὐδὲ φθόνος ὁ τοῖς ἀγαθοῖς ἀεὶ ἐπωδίνων αὐτοὺς ἠδίκησεν), οὕτω καὶ ἡμεῖς, ὅταν μὴ δι' οἰκείαν σκαιότητα, ἀλλ' ἢ διὰ τὴν εὐσέβειαν ἢ τὴν δικαιοσύνην πάσχωμεν, ἀλύειν οὐκ ὀφείλομεν· ἀρκεῖ γὰρ ἡμῖν πρὸς κόσμον καὶ πρὸ τῶν μελλόντων στεφάνων ἡ τῶν ἀγώνων ὑπόθεσις.

18.

('Ανωνύμῳ). cf. PG 78, 1560

Οἶδά τινας, ἴσως δὲ καὶ αὐτός, τὰ διδόμενα γέρα μὴ προσιεμένους, οὐ τῷ κρείττους εἶναι κερδῶν (πάσης γὰρ ἂν ἦσαν ἀναρρήσεως ἄξιοι), ἀλλὰ τῶν μειζόνων ἐφίεσθαι, οἵτινες καὶ δόξαν σκαιότητος κερδαίνουσι, τῆς ὄντως εὐκλείας γυμνούμενοι. χρὴ τοιγαροῦν μάλιστα μὲν κρείττονα εἶναι κερδῶν, εἰ δὲ μή, ἀγαπᾶν τὸ μέτρον, ἵνα μὴ τὸ ὑπὲρ τὴν ἀξίαν ζητοῦντες καὶ τοῦ κατ' ἀξίαν ἐκπέσοιμεν καὶ σκαιότητος δόξαν σχοίημεν, οὐκ ἐπὶ τῷ λαβεῖν τι ἀγαθὸν ἐγκωμιαζόμενοι, ἀλλ' ἐπὶ τῷ προσλαβεῖν τι κακὸν κωμῳδούμενοι.

---

18 cod. ὅτ' ἄν. 20 ἡ] cod. ἤ. 24 cod. τινάς. 31 cod. τί.

19.

(Ἀνωνύμῳ).

Εἰ λυπεῖ ἡ πενία, ἐξουδένωται ἡ θεία νομοθεσία, "μακάριοι" φάσκουσα "οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν". εἰ τοίνυν ταύτης οὐκ ἀντεχόμεθα, εὔδηλον, ὡς κἀκείνης οὐκ ἐφιέμεθα. εἰ δὲ ἐκείνην εὐχαρίστως δεχόμεθα, καὶ ταύτης εἴκομεν τοῖς προστάγμασιν.

20.

(Ἀνωνύμῳ).

Ἡ τοῦ ἄρτου ἔνδεια οὐκ ἔστι λιμός, καὶ ἡ τῶν ἐσθημάτων ἀπορία οὐ γυμνότης· ὁ γὰρ τριχοφόρος Βαπτιστὴς καὶ ὁ τοῦ πλουσίου θυρωρός, ὁ πείνῃ καὶ γυμνότητι τακείς, εἰς τὴν ἄληκτον καὶ ἀπέραντον ἀναστρέφονται καὶ θάλπονται βασιλείαν· ὁ δὲ πλουτῶν ἐν εὐφροσύνῃ βρωμάτων καὶ ἐνδύματι βύσσου γέενναν ἔχει καὶ τὸ ταύτης πῦρ περιβόλαιον.

21.

(Ἀνωνύμῳ).

Ἄπιστος ὢν καὶ ἀβέβαιος, καὶ οὐκ ἔχων τὸν νοῦν πρὸς τὰ μέλλοντα, εἰκότως τοῖς ἐνταῦθα ἀβεβαίοις προστέθηπας, πλούτῳ φημὶ καὶ δόξῃ κενῇ. ἢ τοίνυν περιφρόνει τούτων, ὡς γηίνων, ἢ γυμνάσθητι πρὸς καρτερίαν, ἵν' ἔχῃς ὑπομονήν, ὅτε φεύγουσιν.

22.

(Ἀνωνύμῳ).

Νόμος οὗτος καὶ θεσμὸς περὶ τῆς θείας φύσεως νενίκηκε, πρὸς μὲν τὴν ἀξίαν αὐτῆς τὰς τιμὰς παρὰ τοῦ γεννητοῦ γένους μὴ νέμεσθαι (οὐδὲ γὰρ οἷόν τε), τῇ δὲ τῶν συντελούντων δυνάμει τὴν εὐσέβειαν μετρεῖσθαι. μηδεὶς τοιγαροῦν τῶν πενίᾳ παλαιόντων ἀλυέτω, ἀλλὰ μᾶλλον εὐφραινέσθω· ἓν γὰρ μόνον ἡ θεία φύσις ἐπιζητεῖ· τοῦτο δ' ἐστὶν ἀρετή, ἣν μάλιστα πάντων προσαγαγεῖν δυνήσεται.

23.

(Ἀνωνύμῳ).

Οὐκ ἔστι κατακρίσεως τὰ γραφέντα, ἀλλὰ προρρήσεως τῶν

4 Matth. v, 1.   12/15 Luc. xvi, 19—25.

πάντως ἑπομένων — καὶ Χριστὸς γὰρ προείρηκεν —, ἵνα πεῖραν μὴ λάβωμεν. εἰ κωφεῖ τοίνυν ἡμᾶς τὰ ἠπειλημένα, [πῶς ἂν] γένηται τὰ ἐντεταλμένα;

24.

(Ἀνωνύμου).

Οὐ σὲ μόνον τὰ περὶ πλούτου ἐλεγκτικῶς γραφέντα ἐλύπησεν, ἀλλὰ καὶ ἄλλον πρὸ σοῦ, παρ' αὐτοῦ τοῦ κυρίου ἀκούσαντα "πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς καὶ ἕξεις θησαυρὸν ἐν οὐρανοῖς, καὶ δεῦρο ἀκολούθει μοι". εἰ οὖν ἐκείνῳ βούλει ἕπεσθαι καὶ ἀκοινώνητον φυλάττεις τὴν ὕπαρξιν, ἔχεις καὶ ἄλλον λαμπρότερον, βύσσον καὶ πορφύραν ἀμφιεννύμενον, τὰς δὲ τῶν πενήτων κακώσεις μὴ προσποιούμενον· οὗ τὴν μίμησιν ἔκκλινον, ἵνα μή σε λάβῃ ἐκεῖθεν συμμέτοχον.

---

1 προείρηκεν] Luc. xxi, 36. 2 εἰ κωφεῖ] cod. εἰκοφεῖ ‖ post ἠπειλημμένα aliquid excidit; an πῶς ἄν? 8 Matth. xix, 21. 11/12 Luc. xvi, 19 ff.

Supplementum I.

ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΚΑΤΑ ΛΟΥΚΑΝ ΕΥΑΓΓΕΛΙΟΝ.

(Codex CCCLXXI, s. XI, monasterii Ἰβήρων in monte Atho).

I, 51. *Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ.*—Cod. fol. 54^{a}. Φωτίου. Τὸ μέλλον ὡς ἤδη παρὸν ἀποφαίνεται· ἀντὶ γὰρ τοῦ ποιήσει φησὶν *ἐποίησεν*, ὡς ἤδη κατορθωθὲν καὶ γενόμενον τῆς αὐτοῦ, φησί, χειρός, οὐκ ἀνθρώπου, τὸ ἔργον. ἐποίησε κράτος οὐ διὰ Μωσέως, ὡς πάλαι ἐπὶ τοὺς Αἰγυπτίους, οὐδὲ διὰ Ἰησοῦ τοῦ Ναυή, ὡς τότε Ἱεριχούντια τείχη κατασείων περιόδῳ ἱερέων καὶ σαλπίγγων ἠχῇ· οὐδὲ δι' ἀγγέλου, ὡς ἡνίκα τὰς ἑκατὸν ὀγδοηκονταπέντε χιλιάδας κατεστρώννυε τῶν πολεμίων· οὐδὲ δι' ἄλλου τινός. ἀλλὰ διὰ τίνος; δι' αὐτοῦ τοῦ οἰκείου βραχίονος. βραχίων δὲ τοῦ πατρὸς ὁ υἱός, κατὰ τὸ *ἐλυτρώσω ἐν βραχίονί σου τὸν λαόν σου*. δι' αὐτοῦ οὖν νίκην εἰργάσατο καὶ τρόπαιον ἔστη κατὰ τῶν πάλαι τυραννούντων νοητῶν ἐχθρῶν.

I, 51. *Διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.*—Fol. 57^{b}. Φωτίου. Κατετροπώσατο, φησίν, οὐκ Αἰγυπτίους, ἢ Ἀσσυρίους, ἢ τόδε, ἢ τόδε τὸ πολέμιον, ἀλλὰ πάντα λογισμὸν ὑπερήφανον, τουτέστι μὴ ὑποκύπτοντα καὶ πειθαρχοῦντα τῇ παρουσίᾳ αὐτοῦ διεσκέδασε, σαθρὰς ἀπέδειξε τὰς ὑπερηφάνους διανοίας τῆς καρδίας αὐτῶν, ἃς ἔσχον εἰς τὸ μὴ πιστεῦσαι καὶ

---

6 περιόδῳ] Jos. vi, 15. 7 δι' ἀγγέλου] Reg. 4, xix, 35. 10 Psalm. lxxvi, 16. 13 cod. διεσκόρπησεν. 17 ἀπέδειξε] cod. ἀπέλλαξε.

φοβηθῆναι αὐτόν. διελίκμησε τὰς ὑπερηφάνους τῶν μὴ πιστευσάντων διανοίας, οὐδὲ σκιὰν αὐτοῖς ὑπολιπὼν ἀπολογίας· ἀπὸ γὰρ οἰκείας καρδίας, καίτοι τοσαῦτα ἔχοντες τὰ δυσωποῦντα αὐτούς, ἐφυσιώθησαν καὶ καρπὸν ὀλέθριον τῆς ἰδίας ψυχῆς τὴν ἀπιστίαν παρέστησαν.

II, 17, 18. *Ἰδόντες δὲ διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου, καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς αὐτούς.* — Fol. 90ª. Φωτίου. Αὐτοψίᾳ τὰ εὐηγγελισμένα λαβόντες καὶ τῷ θαύματι τῆς ἀληθείας κατεχόμενοι οὐκ ἀπέκρυψαν τοῖς πυνθανομένοις τὴν αἰτίαν, ἀλλ' ἅπερ τε πρότερον ἐθεάσαντο καὶ ὧν ἀκοῇ τὴν γνῶσιν ἔσχον παρ' αὐτοῦ τε τοῦ εὐαγγελιζομένου ἀγγέλου κήρυκος καὶ παρὰ τῆς ἄλλης ἀγγελικῆς καὶ ὑμνολόγου στρατιᾶς, ταῦτα πάντα τοῖς παροῦσιν ἀπεκάλυπτον· οὐ γὰρ μόνον τῇ Μαρίᾳ καὶ τῷ Ἰωσὴφ τὰ ὑπὲρ λόγον αὐτοῖς τεθεαμένα ἀπήγγελλον, ἀλλὰ μετ' ἐκείνους καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοις ἦν ἐντυχεῖν, κοινωνοὺς τῶν ὑπερφυῶν θεαμάτων καὶ ἀκουσμάτων διὰ τῆς διηγήσεως παρελάμβανον, καὶ αὐτίκα ἡ πόλις ἡ Βηθλεὲμ ἀνεπέπληστο (πλησίον γὰρ ἦν), τοῦ τε σωτηρίου τόκου τὴν ἀλήθειαν καὶ τῆς ἐξ οὐρανῶν μαρτυρίας τὴν ἀκρίβειαν τῶν θεοσόφων ἐκείνων ποιμένων προθύμως πάντα διηγουμένων καὶ τὸ φρικτὸν τοῦ θαύματος ταῖς τῶν ἀνθρώπων ψυχαῖς ἐναφιέντων. καὶ γάρ φησι *πάντες οἱ ἀκούσαντες ἐθαύμαζον.* πῶς γὰρ οὐκ ἦν θαυμάζειν τὸν ἐν οὐρανοῖς ἐπὶ γῆς ὁρᾶν καὶ τήν τε γῆν τοῖς οὐρανίοις διὰ τῆς εἰρήνης συνάπτοντα καὶ τὰ οὐράνια τὴν γῆν οἰκειούμενα, μᾶλλον δὲ τὸ ἄφραστον ἐκεῖνο βρέφος τῇ μὲν θεότητι τὰ οὐράνια, τῇ δὲ ἀνθρωπότητι τὰ ἐπίγεια συνάπτον ἀλλήλοις, ἐκ τῆς οἰκείας συναφείας καὶ τὴν πρὸς ἄλληλα εἰρήνην θαυμασίαν τινὰ καὶ ὑπὲρ λόγον πρυτανεῦον; ὃ καὶ καθορῶσαι αἱ οὐράνιαι στρατιαὶ τὸ *δόξα ἐν ὑψίστοις θεῷ καὶ ἐπὶ γῆς εἰρήνη* μετὰ πνευματικῆς χορείας ἔμελπον. ἀλλὰ τὸ μὲν τῶν ποιμένων ἔργον καὶ τὸ κήρυγμα καὶ ὁ δρόμος ἐν τούτοις.

II, 19. *Ἡ δὲ Μαρία πάντα συνετήρει τὰ ῥήματα ταῦτα,*

---

22 ἐθαύμαζον] sic codex. 29 Luc. II, 14.

συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. — Fol. 90^{b}. Φωτίου. Ποῖα ῥήματα; τὰ τοῦ ἀρχαγγέλου Γαβριήλ, τὰ τοῦ Ζαχαρίου, τὰ τῆς Ἐλισάβετ, τὰ τῶν ποιμένων (ἐν οἷς ὁ ἄγγελος αὐτοῖς ἐκόμιζεν εὐαγγέλια) καὶ τὰ τάγματα τῶν ἀγγέλων, ἃ διὰ τῆς ὑμνολογίας τὴν πίστιν τοῖς εὐαγγελίοις βεβαιοτέραν παρείχοντο. ἀλλὰ τίσι τὰ ῥήματα ταῦτα συνέβαλλον ἐν τῇ καρδίᾳ αὐτῆς; ἢ δῆλον ὅτι τοῖς ἔργοις, ὧν τὴν πεῖραν εἶχε τῇ ἀσπόρῳ συλλήψει, τῇ ἀνωδύνῳ κυήσει, τῷ ἀδιαφθόρῳ τόκῳ. τοῖς οὖν καθ' ἑαυτὴν ἔργοις τοὺς λόγους συμβάλλουσα θεὸν ὁμολογεῖν τὸν γεννηθέντα τὴν κρίσιν ὀρθὴν ἀνεδέχετο.

II, 21. Ibidem. Φωτίου. Ἔχω καὶ ἄλλην αἰτίαν εἰπεῖν τῆς ἐντολῆς τῆς περιτομῆς. ἐπειδὴ γὰρ γένους Χαλδαίων ἐχρημάτιζεν ὁ Ἀβραάμ, παρ' οἷς τὸ μητρογαμεῖν καὶ θυγατράσι συναναφύρεσθαι ἀνεύθυνον ἦν, τέμνεται τὴν ἀκροβυστίαν, εἰς ἀθέτησιν τῆς τοιαύτης ἀρρητοποιίας, καὶ γίνεται αὐτῷ τῆς οἰκείας σαρκὸς ἡ περιτομὴ τῆς προσεχοῦς συγγενείας διαίρεσις. πλὴν ἀφορισθῆναι τὸ τοῦ Ἀβραὰμ ἔδει γένος, πρῶτον μὲν ἵνα μὴ τοῖς ἄλλοις ἔθνεσιν ἐπιμιγνύμενον τῆς οἰκείας εὐσεβείας παρατροπὴν πάθοι, ἔπειτα ἵνα τῆς θείας ὑποσχέσεως ἐναργὲς πᾶσι τὸ πέρας δειχθῇ, εἰς ἀναρίθμητον πλῆθος τοῦ ἐξ Ἀβραὰμ πληθυνομένου γένους· καὶ τρίτον, ὃ καὶ τῶν ἄλλων ἐστὶν αἰτιώτατον, ἐπείπερ ὑπεσχημένον ἦν τῷ Ἀβραὰμ ἐν τῷ σπέρματι αὐτοῦ τὰ ἔθνη εὐλογηθήσεσθαι (τοῦτο δὲ δι' αὐτοῦ τοῦ πλάσαντος δυνατὸν ἦν προελθεῖν), διὰ τοῦτο τὸ Ἀβραμιαῖον γένος ἀφορίζεται καὶ τῆς τῶν ἄλλων ἐθνῶν ἐπιμιξίας διακρίνεται, ἵνα, τοῦ δημιουργοῦ τὴν ἡμετέραν φύσιν ἐξ αὐτοῦ προσλαμβάνοντος, ἐπίδηλον ἅπασι τὸ τῆς ὑποσχέσεως ἀψευδὲς καταστῇ καὶ ὅτι Χριστός, ἐν ᾧ τὰ ἔθνη τῆς ἐν χάριτι εὐλογίας κατηξιώθησαν, ἐκ τῆς ὀσφύος ἐκείνου τὰς πρώτας καὶ ἀνθρωπίνας ἀρχὰς οὐκ ἀπηξίωσεν αὐτῷ γενέσθαι τῆς κατὰ σάρκα γεννήσεως. κἀκεῖνο δὲ δῆλον, ὡς τὴν περιτομὴν ὁ Ἀβραὰμ οὔτε

---

6 cod. δηλονότι. 13 cod. θυγατρᾶσι. 19/20 Gen. xv, 5. xvi, 10. xvii, 2. 22 cod. εὐλογιθήσεσθαι || Gen. xvii, 16—20. 30 τὴν περιτομὴν - - ἐδέξατο] Gen xvii, 24.

πίστεως ἔσχεν αἰτίαν, οὔτε τάξιν ἐπέχουσαν πίστεως — προεπίστευσε γάρ —, ἀλλὰ τῆς προϋπαρξάσης αὐτῷ πίστεως μόνον σφραγῖδα ταύτην ἐδέξατο. τὸ μέντοι λέγειν, ὡς διὰ τοῦτο περιετμήθη τὴν ἀκροβυστίαν, ὡς ἂν γυμνὸν γεγονὸς τῶν ἐκ φύσεως περιβλημάτων τὸ παιδογόνον μόριον τῶν ἐκεῖθεν ῥύπων καθαρεύοι, τῷ Ἰουδαίῳ Φίλωνι πεφλυάρηται.

II, 37, 38.—Fol. 110^{b}. Φωτίου. Διέλαμπε μέντοι ταῖς ἀρεταῖς ἁπάσαις ἡ Ἄννα· ἐκ γὰρ τοῦ μὴ ἀφίστασθαι τοῦ Ἱεροῦ καὶ νηστείαις καὶ δεήσεσι λατρεύειν νύκτα καὶ ἡμέραν δῆλον, ὡς καὶ ὁ λοιπὸς αὐτῇ τῶν ἀρετῶν συμπαρῆν χορός· ὑφ' ὧν κεκαθαρμένη τὸν νοῦν καὶ τοῦ παναγίου πνεύματος γεγενημένη δοχεῖον, καὶ τὰς παρ' αὐτοῦ δεχομένη ἐμφάσεις, αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, καθ' ἣν τὸ παιδίον ἡ μήτηρ καὶ ὁ Ἰωσὴφ τῷ Ἱερῷ προσέφερον, ἐκάλει μὲν τὸ βρέφος κύριον, *ἀνθωμολογεῖτο* δὲ αὐτῷ, τουτέστιν ηὐχαρίστει καὶ λύτρωσιν τοῦ γένους καὶ σωτηρίαν ἀνεκήρυττε. καὶ ὅρα τὴν παραπλησίαν τῷ Συμεῶνι ταῖς ἀρεταῖς, ὅπως καὶ τὰς προφητείας παραπλησίους κιχρᾷ· ἅμα μὲν γὰρ παρῆσαν τῷ ναῷ, ἅμα δὲ καὶ προφητικῆς ἠξιοῦντο χάριτος. ἀλλ' ὁ μὲν Συμεὼν προελάμβανε χρησμολογῶν, ἡ δὲ τὴν δευτέραν ἔχουσα τάξιν ὅμως οὐκ ἐδευτέρευε τοῖς χρησμοῖς. τάχα δ' ἂν διὰ τοῦτο προλαβεῖν εἴποι τις τὸν Συμεῶνα, διότι ὃ μὲν τύπον ἔφερε τοῦ νόμου, καὶ γὰρ καὶ ἡ κλῆσις τὸ ὑπήκοον δηλοῖ, ἣ δὲ τῆς χάριτος, ἡ Ἄννα, τοῦτο γὰρ ἡ κλῆσις ἀναπτυσσομένη δηλοῖ· ὧν ἀμφοῖν ὁ Χριστὸς ἔκειτο μέσος· διὸ τὸν μὲν ἀπολύει συντελευτῶντα τῷ νόμῳ, τὴν δὲ τέως κατέχει τῇ χάριτι ζῶσαν. Cf. Ad Amphiloch. quest. ρνζ', § ε' [Migne col. 832-833. Oecon. p. 244].

VI, 42.—Fol. 278^{a}. Φωτίου. Ἑαυτοὺς οὖν προτέρους διορθώσωμεν, καὶ τότε ἄλλοις ἐπιτιμῶμεν πταίουσι καὶ ἐπιπλήττωμεν. ἀλλὰ φιλανθρώπως καὶ τότε· γίνονται γὰρ διαφοραὶ ἀπό τε τῆς

---

1 προεπίστευσε] Gen. xv, 6. 3/6 Philonis de circumcisione § 2 [t. II, p. 211 ed. Mangey]. Quæst. et solut. in Genesin, III, 52 [Philonis paralipomena armena in lat. translata per J. B. Aucher, t. II, p. 227]. 4 cod. γεγονώς. 17 cod. κηχρᾷ.

κρίσεως αὐτῆς καὶ τῶν κρινόντων καὶ τῶν κρινομένων προσώπων τοσαῦται· μία μέν, ἂν ὁ κρίνων καὶ ἐπιπλήττων καὶ φιλῶν καὶ στέργων, ἀλλὰ μὴ διασύρων, τοῦτο ποιῇ καὶ μισῶν· δευτέρα δέ, ἂν νόμῳ τοῦτο καὶ κοινῷ τῆς πολιτείας δικαίῳ ποιῇ· τρίτη, ἂν κατὰ μηδὲν τούτων, μισῶν δὲ καὶ διακωδωνίζων, τοῦτο ποιῇ, ἢ καὶ μάτην, οὐδὲ τὸν κρινόμενον καλῶς ἐγνωκώς· ἢ ὅταν τῇ περὶ ἑτέρους ἀποτομίᾳ τὰ οἰκεῖα αἴσχη ἀποκρύπτειν πειρᾶται, ὡς ὁ ἐπὶ τούτοις τραχέως ἐπιτιμῶν οὐκ ἂν αὐτὸς νομισθείη τοῖς ὁμοίοις ἑαλωκώς. ἕκτη δὲ διαφορά, ἂν αὐτοὶ τῶν κρινομένων ὄντες κρίνειν ἄλλους ἐπιχειρῶσι· οὔτε γὰρ φιλίαν οὔτε στοργὴν οἱ τοιοῦτοι ἔχουσιν εἰς ἀπολογίαν.—Ibidem. Φωτίου. Ἄν τε γὰρ μείζω, ἄν τε ὅμοια, ἄν τε ἐλάττονα ἡμαρτηκότα κατακρίνῃ τις, ἑαυτὸν κατακρίνει· ὁ μὲν γὰρ ἐλάττονα ἁμαρτόντα κατακρίνας εὔδηλον, ὅτι μᾶλλον ἑαυτὸν κατέκρινε, μείζονα αὐτὸς ἡμαρτηκώς, ὅτι δέον ἐξαλεῖψαι τὰ οἰκεῖα καὶ τὸν κοινὸν κριτὴν ἐξιλεῶσαι συντριμμῷ καρδίας καὶ μεταμελείᾳ. ὁ δὲ φυσηθεὶς κατὰ τοῦ πλησίον κριτοῦ ἀξίωμα ἐνέδυ καὶ κρίνειν ἑτέρους ἐπήρθη, εἷς καὶ αὐτὸς τῶν κρινομένων τυγχάνων. ὡσαύτως καὶ ὁ τὸν τὰ ὅμοια ἡμαρτηκότα κατακρίνων κοινὴν ἐξάγει τὴν ψῆφον καθ᾽ ἑαυτοῦ τε καὶ τοῦ κρινομένου, μᾶλλον δὲ καθ᾽ ἑαυτοῦ· τῷ μὲν γὰρ διὰ τῆς οἰκείας προπετείας ἐμετρίωσε καὶ τὰ ἐνόντα πλημμελήματα, ἂν φιλοσόφως ἐκεῖνος ἐνέγκοι τὴν παροινίαν, ἑαυτῷ δὲ προσθήκην εἰργάσατο τῶν κακῶν, τοῖς ἔμπροσθεν καὶ τὴν ἀπὸ τοῦ κατακρίνειν ἑτέρους τιμωρίαν προσειληφώς.

---

3 cod. ποιεῖ. 12 cod. ἡμαρτικότα.

Supplementum II.

ΑΚΟΛΟΥΘΙΑ

ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ.

ΙΑΜΒΟΙ.

Ἦχος πλάγιος β'.

Ὠδὴ α'.

Ἐν ἰσχύι κραταιότητός σου, Λόγε,
ξενοπρεπῶς ἔσωσας Ἰσραὴλ πάλαι·
Αἰγυπτίων γὰρ ἐκδραμὼν μοχθηρίαν
φυγὰς σέσωστο τῆς θαλάσσης τὴν τρίβον,
αἶνον φέρων σοι τερπνὸν εὐχαριστίας.

Ὠδὴ γ'.

Νεῦσον πρὸς ἡμᾶς τοὺς σὲ τιμῶντας, Λόγε,
ἐχθρῶν ἁπάντων μηχανὰς ἀποτρέπων·
ὑπερβολῇ γὰρ ἐχθρικῆς κακουργίας
εἰς πλῆθος εἰσέδυμεν ἀσχέτου ζάλης·
ῥῦσαι δὲ καὶ στήριξον ἡμᾶς σῷ φόβῳ.

E codice s. X (№ XXXII Plut. B', fol. 218[a]) Laurae S. Athanasii Athonitae, ubi hi jambi notis musicis instructi sunt. Reperi eos et exscripsi m. Julio ann. 1895. Alexander autem, eruditissimus monachus ejusdem Laurae, edidit hos jambos in diario Constantinopoleos Ἐκκλησιαστικὴ Ἀλήθεια (9 Sept. 1895, p. 220) lectionibus codicis non indicatis.

4 cod. ἦχο(ς), Alex. στίχ(οι). 6/10 Exod. xiv, xv. 6 cod. Ἐνΐσχύει κρατεῶτιτόσσου. 7 cod. ξενοπρεπῶς, Alex. θεοπρεπῶς. 8 cod. ἐκδραμῶν. 9 cod. φυγᾶς σεσωστω. 10 cod. φέρον. 12 cod. νεύσον || cod. τοῦς σὲ τιμόντας. 15 cod. πλίθος.

*

Ὠδὴ δʹ.

Ἀμβακούμ, ὡς προεῖδεν ἐν μεταρσίοις
σκιρτήμασι, δέδειχεν τὴν ἐν ἐσχάτοις
αἰῶσιν ἔμφρικτον θεοῦ παρουσίαν·
συνηγοροῦσαν τῇ ξένῃ θεωρίᾳ
κόσμου λύτρωσιν ἐνθέως ὑπογράφει.

Ὠδὴ εʹ.

Ὁ φῶς ὑπάρχων αὐθυπόστατον, Λόγε,
ἴθυνον ἡμᾶς πρὸς τρίβους σωτηρίας·
βοῶντα δέξαι καὶ σκότους ἁμαρτίας
ἐλευθέρωσον, Χριστέ, τὴν ἐμὴν φρένα·
λύτρον γὰρ ἡμῖν τῶν κακῶν ἐλήλυθας.

Ὠδὴ ϛʹ.

Συνεσχέθην τῆς ἡδονῆς τοῖς ἄρκυσιν
ἐν πλημμελείαις τοῦ βίου πεφυρμένος·
κράζω δέ, σωτήρ, ὡς ἔχων εὐσπλαγχνίαν
αὐτός με ῥῦσαι χειρὶ πανσθενεστάτῃ·
ἰσχὺς γὰρ ἡμῖν σωστικὴ πέλεις, Λόγε.

Ὠδὴ ζʹ.

Ἰδὼν τύραννος δυσσεβὴς θαῦμα ξένον,
ἄνδρας πυρὸς κρατοῦντας ἐνθέῳ σθένει,
πῦρ δὲ δρόσον πηγάζον, ἐκστὰς ἐν φόβῳ
ὅλος παρεῖται καὶ βοᾷ τῷ δεσπότῃ·
„Ἔχεις κράτος μέγιστον! εὐλογητὸς εἶ“.

2/3 Habac. II, III. 2 cod. Ἀμβακοὺμ ὡσπρόιδεν, Alex. Ἀββακοὺμ ὥσπερ εἶδεν. 3 cod. σκηρτήμασι δ. τῆν ἐνεσχάτοις. 4 Alex. αἰῶσιν. Ἔμφρικτον etc. 9 cod. ἤθυνον || ἡμᾶς scripsi, αὐτοὺς codex. 10/11 Alex. ἁμαρτίας. Ἐλευθέρωσον etc. 11 cod. τῆν ἐμὶν. 14 συνεσχέθην scripsi, συνεσχέθει codex, συνεσχέθη Alexander || cod. εἰδωνῆς. 15 πλημμελίαις codex et Alex. 16 cod. κράζο δ. σ. ὼς. 18 cod. ἰσχῦς γ. ἡ. σωστικῆ. 20 cod. ἰδῶν τύρανος δυσσεβεῖς θαύμα || τύραννος = Ναβουχοδονόσορ. 21 Alex. ἐνθέως. 22 cod. πηγάζων ἐκστᾶς || πῦρ δρόσον πηγάζον] Dan. III, (2), 50. Cant. puerorum 26. 23 cod. et Alex. παρείτω || cod. βοὰ τῶ δεσπότι. 24 cod. μέγηστον εὐλογειτὸσεῖ || Dan. III, (2), 95.

Ὠδὴ η΄.

Ῥώμην λαβόντες παῖδες ἔνθεον πάλαι,
ἀλκὴν κρατοῦντες καὶ θράσος διηρμένον,
στερρῶς καθεῖλον συμπατοῦντες τὴν φλόγα,
ἀπαύστως κραυγάζοντες ἐν παρρησίᾳ·
"Νῦν εὐλογοῦμεν, ὃν πᾶσα κτίσις τρέμει".

Ὠδὴ θ΄.

Κατὰ χρέος σε πάντες ὑμνοῦμεν πόθῳ,
ἄχραντε μῆτερ, εὐλογημένη μόνη·
ῥύστης γὰρ ἡμῖν καὶ θεὸς καὶ δεσπότης
ἐκ σῶν προῆλθεν ἐγκάτων θεηδόχων,
κόσμῳ λύτρωσιν πταισμάτων δωρούμενος.

---

3 cod. et Alex. διειρμένον. 4 cod. καθήλον συμπατούντες τῆν || Dan. III, 23. 5 cod. παρρισία. 6 νῦν] cod. ἦν. 8 cod. καταχρέως. 9 cod. εὐλογειμένη. 12 cod. et Alex. κόσμου.

*

INDEX PROVERBIORUM.

INDEX LOCORUM S. SCRIPTURÆ.

INDEX NOMINUM PROPRIORUM.

*

INDEX VERBORUM.

*

*

ADDITAMENTUM.

EPISTOLARUM EXORDIA.

CONSPECTUS.



*